UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

4. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν, ἥν τιν᾽ ἔοικεν,
ἥ τε καὶ ἐϲϲομένοιϲι μετ᾽ ἀνθρώποιϲι πέληται.
ὣϲ ἔφατ᾽ Ἀτρείδηϲ, ἐπὶ δ᾽ ᾔνεον ἄλλοι Ἀχαιοί.

---

## ΙΛΙΑΔΟϹ Δ.

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
χρυϲέῳ ἐν δαπέδῳ, μετὰ δέ ϲφιϲι πότνια Ἥβη
νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυϲέοιϲ δεπάεϲϲι
δειδέχατ᾽ ἀλλήλουϲ Τρώων πόλιν εἰϲορόωντεϲ.
αὐτίκ᾽ ἐπειρᾶτο Κρονίδηϲ ἐρεθιζέμεν Ἥρην
κερτομίοιϲ ἐπέεϲϲι, παραβλήδην ἀγορεύων·
δοιαὶ μὲν Μενελάῳ ἀρηγόνεϲ εἰϲὶ θεάων,
Ἥρη τ᾽ Ἀργείη καὶ Ἀλαλκομενηὶϲ Ἀθήνη.
ἀλλ᾽ ἤ τοι ταὶ νόϲφι καθήμεναι εἰϲορόωϲαι
τέρπεϲθον· τῷ δ᾽ αὖτε φιλομμειδὴϲ Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆραϲ ἀμύνει,
καὶ νῦν ἐξεϲάωϲεν ὀιόμενον θανέεϲθαι.
ἀλλ᾽ ἤ τοι νίκη μὲν ἀρηιφίλου Μενελάου·
ἡμεῖϲ δὲ φραζώμεθ᾽, ὅπωϲ ἔϲται τάδε ἔργα,
ἤ ῥ᾽ αὖτιϲ πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν

---

V. l. 459 ἥν τιν᾽ ἔοικεν: ἣν ἐπέοικεν L. ἥν τ᾽ ἐπέοικε Mosc. 1. — 461 ὡϲ A. ἐπι L. ἀχαιῶν D.

---

A. c. 459 Aristarchus ἀποτινέμεν: ἀποτίνετον Zenodotus. vera scriptura videtur ἀποτίνετε, cf. de hiatu pg. 16.

---

V. l. 1 παρ AD. — 2 μετα A. ϲφι (ϲι above) L. Ἥβη: Ἥρη Apoll. Lex. 111, 30. — 3 ἐῳνοχόει libri omnes cum Eustathio, Schol. Θ 1. Schol. Eurip. Phoen. 28. Athen. XII, 513. Et. Mg. 600, 12. Rhet. Gr. III, 217, 18. Cram. An. Ox. IV, 179, 29. δεπάεϲϲι ACDGHMN Eust. 682, 58. Athenaeus I, 13; XII, 513. — 4 δειδῖχατ᾽ H. δειδέκατ᾽ Vrat. a. τρῴων GL. — 6 παρακλήδην Lips. — 7 ἀρήγονεϲ H. — 8 ἀλαλκομενὴϲ L. — 10 φιλομμειδὴϲ ADL Schol. Ε 131: φιλομειδὴϲ CEGHMNO Lips. Et. Mg. 578, 32. διπλάζει τὸ μ̄ διὰ μέτρον κατά τινα τῶν ἀντιγράφων Eust. 439, 37. — 11 πὰρ μέμβλωκε G. — 12 οἰώμενον N. — 15 ἢ ῥ᾽ D. ἤ ῥὰ H. ἠ αὖτιϲ EL. αὖθιϲ C. — 16 ὤρϲομεν L. ἢ A: ceteri ἤ. βάλλωμεν H.

---

A. c. 3 ἐῳνοχόει Herodianus, conf. Eust. 438, 11; 1635, 27: ἐνῳνοχόει Zenodotus. praestat οἰνοχόει ut A 598, conf. H. T. 324.

ὄρcομεν, ἢ φιλότητα μετ᾽ ἀμφοτέροιcι βάλωμεν.
εἰ δ᾽ αὖ πωc τόδε πᾶcι φίλον καὶ ἡδὺ γένοιτο,
ἦ τοι μὲν οἰκέοιτο πόλιc Πριάμοιο ἄνακτοc,
αὖτιc δ᾽ Ἀργείην Ἑλένην Μενέλαοc ἄγοιτο.
ὣc ἔφαθ᾽, αἳ δ᾽ ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη.
πληcίαι αἵ γ᾽ ἥcθην, κακὰ δὲ Τρώεccι μεδέcθην.
ἦ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε,
cκυζομένη Διὶ πατρί, χόλοc δέ μιν ἄγριοc ᾕρει·
Ἥρῃ δ᾽ οὐκ ἔχαδε cτῆθοc χόλον, ἀλλὰ προcηύδα·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεc.
πῶc ἐθέλειc ἅλιον θεῖναι πόνον ἠδ᾽ ἀτέλεcτον,
ἱδρῶ θ᾽, ὃν ἵδρωcα μόγῳ, καμέτην δέ μοι ἵπποι
λαὸν ἀγειρούcῃ Πριάμῳ κακὰ τοῖό τε παιcίν.
ἔρδ᾽· ἀτὰρ οὔ τοι πάντεc ἐπαινέομεν θεοὶ ἄλλοι.
τὴν δὲ μέγ᾽ ὀχθήcαc προcέφη νεφεληγερέτα Ζεύc·
δαιμονίη, τί νύ cε Πρίαμοc Πριάμοιό τε παῖδεc
τόccα κακὰ ῥέζουcιν, ὅ τ᾽ ἀcπερχὲc μενεαίνειc
Ἰλίου ἐξαλαπάξαι ἐυκτίμενον πτολίεθρον;
εἰ δὲ cύ γ᾽ εἰcελθοῦcα πύλαc καὶ τείχεα μακρὰ
ὠμὸν βεβρώθοιc Πρίαμον Πριάμοιό τε παῖδαc
ἄλλουc τε Τρῶαc, τότε κεν χόλον ἐξακέcαιο.
ἔρξον ὅπωc ἐθέλειc· μὴ τοῦτό γε νεῖκοc ὀπίccω

---

V. l. 17 αὖ πωc: αὔτωc CD. αὔτωc A. αὔτωc GHLMNOS. — 19 αὖθιc C. — 20 ὥc A. αἳ δ᾽ DMNO. αἵδ᾽ CHL. αἱ δὲ G. ὑπέμυξαν Cram. An. Par. III, 378, 31. — 21 πληcίαι (ον) Eton. αἵ γ᾽: αἵδ᾽ O. τρῴεccι GL. — 22 ἡ μὲν ἀθηναίη G. εἶπε ACN. — 23 ᾖρει G. ἡιρει A. — 24 Ἥρῃ Eust. 125, 8; 1345, 1. Apoll. Lex. 166, 10. MN. οὐκ ἔχαδε ACE 125, 7; 440, 45; 965, 52 GHLMNOS Apoll. Lex. 166, 10: οὐ κέχαδε H Eust. 723, 47. ἐν τῷ „Ἥρῃ δ᾽ οὐ κέχαδε cτῆθοc χόλον" ἔχαδε δεῖ γράφειν ὡc δεύτερον ἀόριcτον Eust. 1345, 2. χρῆcιc δὲ τοῦ κέχαδεν ἐν τῷ „Ἥρῃ δ᾽ οὐ κέχαδε χόλον θυμόc". εἰ γὰρ καί τινεc βούλονται γράφειν ἔχαδε λόγῳ δευτέρου ἀοριcτου, ἀλλ᾽ ἡ πλείων χρῆcιc τῶν ἀντιγράφων κέχαδεν αὐτὸ οἶδεν Eust. 1487, 5. — 25 ἔειπαc N Mor. Vrat. a. — 27 ἔκαμον δέ μοι ἵπποι Eust. 441, 22, conf. ἔκαμον δέ μοι ὄccε μ 232. ἵπποι: ἵππω S Cant. Schol. Ω 765. — 29 ἔρδ᾽: ἕρδ᾽ LMNO. ἕρδε H. ἕρδε ἆρ οὗτοι G. ἔρδε ἀτὰρ οὐ πάντεc E 441, 33. αὐτὰρ οὗτοι Appoll. Lex. 75, 25. οὔ τοι: οὔτι MN. ἐπαινέcομεν Mosc. 1. — 30 τήνδε H. — 33 εὐκτήμενον D. — 34 cύγ᾽ ἐλθοῦcα H. — 35 βεβρώθειc Mor. — 36 ἄλλουc τὲ CHM. τρῷαc G. — 37 ἕρξον HLMO. ἑρξον A.

---

Ἀ. c. 17 αὖ πωc Aristarchus: Aristophanes αὖ τὼc vel αὔτωc. Aristophanes γένοιτο: πέλοιτο Aristarchus. Axt. Coniect. Hom. (1861) pg. 5 coniecit εἰ δή πωc vel εἰ δ᾽ οὖν πωc.

coì καì ἐμοì μέγ' ἔριcμα μετ' ἀμφοτέροιcι γένηται.
ἄλλο δέ τοι ἐρέω, cὺ δ' ἐνì φρεcì βάλλεο cῇcιν·
ὁππότε κεν καì ἐγὼ μεμαὼc πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω, ὅθι τοι φίλοι ἀνέρεc ἐγγεγάαcι,
μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ' ἐᾶcαι.
καì γὰρ ἐγὼ coì δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ·
αἳ γὰρ ὑπ' ἠελίῳ τε καì οὐρανῷ ἀcτερόεντι
ναιετάουcι πόληεc ἐπιχθονίων ἀνθρώπων,
τάων μοι περì κῆρι τιέcκετο Ἴλιοc ἱρὴ
καì Πρίαμοc καì λαὸc ἐυμμελίω Πριάμοιο.
οὐ γάρ μοί ποτε βωμὸc ἐδεύετο δαιτὸc ἐίcηc,
λοιβῆc τε κνίcηc τε· τὸ γὰρ λάχομεν γέραc ἡμεῖc.
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπιc πότνια Ἥρη·
ἦ τοι ἐμοì τρεῖc μὲν πολὺ φίλταταί εἰcι πόληεc,
Ἄργόc τε Cπάρτη τε καì εὐρυάγυια Μυκήνη·
τὰc διαπέρcαι, ὅτ' ἄν τοι ἀπέχθωνται περì κῆρι·
τάων οὔ τοι ἐγὼ πρόcθ' ἵcταμαι οὐδὲ μεγαίρω.
εἴ περ γὰρ φθονέω τε καì οὐκ εἰῶ διαπέρcαι,
οὐκ ἀνύω φθονέουc', ἐπεì ἦ πολὺ φέρτερόc ἐccι.
ἀλλὰ χρὴ καì ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεcτον·
καì γὰρ ἐγὼ θεόc εἰμι, γένοc δέ μοι ἔνθεν ὅθεν coί,
καί με πρεcβυτάτην τέκετο Κρόνοc ἀγκυλομήτηc,

---

V. l. 38 ἔρειcμα D 1. man. μεταμφοτέροιcι A. — 39 ἐνι A. cῇcï M. — 41 ἐγγεγάαcι A Vrat. b. Townl. Mosc. 1. 3 ex corr. ἐγγεγάαcιν L: ἐκγεγάαcι CEGHMNO. ἐκγεγάαcιν D. — 42 μή τι: μή μοι N. ἔαcον G. — 43 ἐγὼ coì ACH: ἐγώ coι DGLMNO. ἐγώ τοι E bis S. ἐγὼ τοι Cant. ἀέκοντί τε (γε) O. — 44 ἠελίωι τὲ A. — 45 ναιετάωcι D. πόλιεc CGN. — 46 ἐκ τῶν μοι G. περì ACELMN: πέρι DGHO. — 47 ἐϋμελίω EGMO. εὐμελίω D. ἐϋμμελίωι A. ἐϋμμελίου L. — 48 γάρ μοι ποτὲ CDGHL. βωμὸc: θυμὸc E. ἐΐccηc NO. — 49 κνίcηc AG: κνίccηc CDEHLMNO. — 51 πολυφίλταταί AG (αι). εἰcì DGLN. γρ. πολυφίλταται O. φίλτατοι N Vrat. a. — 53 διάπερcον G. ὅταν EGLN. ὅτάν CDH. ἀπέχθονται D. πέρι O. — 54 οὔτι EGMS: οὔτοι ACDHL Townl. Eton. Mosc. 1. 3. προΐcταμαι G. — 55 ἐπεì ἦ Et. Mg. 115, 14. Cram. An. Par. III, 302, 9. ἐπειῆ A. ἐπεì ῆ C et ἡ duobus accentibus. ἐπεì ἡ D: ceteri ἐπειὴ. πολυφέρτατόc D. φέρτεροc ἐccì GMNO. φέρτατοc ἐccì L. φέρτατόc ἐccι A in marg. — 57 ἀλλὰ γὰρ χρὴ M. — 58 δέ μοι ACDEGHLOS: vulgo δ' ἐμοì. — 59 καί μοι H.

---

A. c. 43 ἐγὼ coì Herodianus. δῶκα ἑκών: δῶκ' ἀέκων Trypho. — 46 περì Herodianus: alii πέρι, conf. H. T. 337. — 55, 56 ἀθετοῦνται Aristonicus.

ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα cὴ παράκοιτιc
κέκλημαι, cὺ δὲ πᾶcι μετ᾽ ἀθανάτοιcιν ἀνάccειc.
ἀλλ᾽ ἤ τοι μὲν ταῦθ᾽ ὑποείξομεν ἀλλήλοιcι,
coὶ μὲν ἐγώ, cὺ δ᾽ ἐμοί· ἐπὶ δ᾽ ἕψονται θεοὶ ἄλλοι
ἀθάνατοι. cὺ δὲ θᾶccον Ἀθηναίῃ ἐπιτεῖλαι
ἐλθεῖν ἐc Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν,
πειρᾶν δ᾽ ὥc κε Τρῶεc ὑπερκύδανταc Ἀχαιοὺc
ἄρξωcι πρότεροι ὑπὲρ ὅρκια δηλήcαcθαι.
ὣc ἔφατ᾽, οὐδ᾽ ἀπίθηcε πατὴρ ἀνδρῶν τε θεῶν τε·
αὐτίκ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προcηύδα·
αἶψα μάλ᾽ ἐc cτρατὸν ἐλθὲ μετὰ Τρῶαc καὶ Ἀχαιούc,
πειρᾶν δ᾽ ὥc κε Τρῶεc ὑπερκύδανταc Ἀχαιοὺc
ἄρξωcι πρότεροι ὑπὲρ ὅρκια δηλήcαcθαι.
ὣc εἰπὼν ὤτρυνε πάροc μεμαυῖαν Ἀθήνην,
βῆ δὲ κατ᾽ Οὐλύμποιο καρήνων ἀΐξαcα.
οἷον δ᾽ ἀcτέρα ἧκε Κρόνου πάιc ἀγκυλομήτεω,
ἢ ναύτῃcι τέραc ἠὲ cτρατῷ εὐρέι λαῶν,
λαμπρόν· τοῦ δέ τε πολλοὶ ἀπὸ cπινθῆρεc ἵενται·
τῷ εἰκυῖ᾽ ἤιξεν ἐπὶ χθόνα Παλλὰc Ἀθήνη,
κὰδ δ᾽ ἔθορ᾽ ἐc μέccον· θάμβοc δ᾽ ἔχεν εἰcορόωνταc
Τρῶάc θ᾽ ἱπποδάμουc καὶ ἐυκνήμιδαc Ἀχαιούc.
ὧδε δέ τιc εἴπεcκεν ἰδὼν ἐc πληcίον ἄλλον·
ἦ ῥ᾽ αὖτιc πόλεμόc τε κακὸc καὶ φύλοπιc αἰνὴ

---

V. l. 62 ἐπιείξομεν Apoll. de Synt. 123, 13. ἀλλήλοιcι ACDEGMNO. — 63 ἐπι CD. — 64 θάccον D. ἐπίτειλαι Apoll. de Synt. 78, 14. — 65 εἰc O. τρώων GL. — 66 πειρᾶν δ᾽ ACDEHMNOS Mor. Vrat. b. Eton. Townl. Mosc. 1. Schol. Aristoph. Plut. 322. Cram. Epim. 269, 29. Schol. Γ 276. πειρᾷν δ᾽ G Apoll. de Synt. 78, 19. Et. Gud. 390, 28. δ᾽ omitt. L. κε Et. Gud. 390, 28: κεν ACDEGHLMNO Apoll. de Synt. 78, 19. Cram. Epim. 269, 29. ὡc κέντροιcιν Schol. Γ 276. τρῷεc GL. — 67 ἄρξανταc προτέρουc Schol. Γ 276. ὑπερόρκια ACDGHL Mor.: ὑπὲρ ὅρκια E. — 68 ὡc A. ἀπείθηcε D. — 69 αὐτίκα δ᾽ MN. προcηῦδα D. — 70 μετα A. τρῷαc G. — 71 πειρᾷν G. κεν ACDGHLMNOS Anonym. περὶ βαρβαριcμοῦ ed. Valckenaer. p. 200. τρῷεc G. — 72 πρότερον O. ὑπερόρκια ACDGHL. — 73 ὡc A. — 75 ἀcτέρα ἧκε omnes. πάϊc: παῖc libri cum Schol. P 547. — 76 ναύταιcι G. ἢ cτρατῷ G. — 77 ἄπο G. ἀπο CDHM. ἵενται DLM. Vrat. a. — 78 εἰκυῖα G. εἰκυίη D. τῷ ἰκέλη L. — 79 καδδ᾽ CGHLMNO. καδδέθορ᾽ D. μέcον GM. δ᾽ ἔcχεν G. — 80 τρῷαc θ᾽ GL. εὐκνήμιδαc CDGHLMO. — 82 ἤ ῥ᾽ GO. αὖθιc C.

---

A. c. 63 δ᾽ ἐμοὶ Apoll. de Pron. 50 A; 103 C; de Synt. 98, 4; 112, 10. — 64 Aristarchus ἐπιτεῖλαι, conf. Et. Mg. 365, 40. — 77 ἄπο et ἀπὸ Schol. BL.

ἔccεται, ἢ φιλότητα μετ᾽ ἀμφοτέροιcι τίθηcι
Ζεύc, ὅc τ᾽ ἀνθρώπων ταμίηc πολέμοιο τέτυκται.
ὣc ἄρα τιc εἴπεcκεν Ἀχαιῶν τε Τρώων τε.
ἣ δ᾽ ἀνδρὶ ἰκέλη Τρώων κατεδύcεθ᾽ ὅμιλον,
Λαοδόκῳ Ἀντηνορίδῃ, κρατερῷ αἰχμητῇ,
Πάνδαρον ἀντίθεον διζημένη, εἴ που ἐφεύροι.
εὗρε Λυκάονοc υἱὸν ἀμύμονά τε κρατερόν τε
ἑcταότ᾽· ἀμφὶ δέ μιν κρατεραὶ cτίχεc ἀcπιcτάων
λαῶν, οἵ οἱ ἕποντο ἀπ᾽ Αἰcήποιο ῥοάων.
ἀγχοῦ δ᾽ ἱcταμένη ἔπεα πτερόεντα προcηύδα·
ἦ ῥά νύ μοί τι πίθοιο Λυκάονοc υἱὲ δαΐφρον;
τλαίηc κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν,
πᾶcι δέ κε Τρώεccι χάριν καὶ κῦδοc ἄροιο,
ἐκ πάντων δὲ μάλιcτα Ἀλεξάνδρῳ βαcιλῆι.
τοῦ κεν δὴ πάμπρωτα παρ᾽ ἀγλαὰ δῶρα φέροιο,
αἴ κεν ἴδῃ Μενέλαον ἀρήιον, Ἀτρέοc υἱόν,
cῷ βέλεϊ δμηθέντα πυρῆc ἐπιβάντ᾽ ἀλεγεινῆc.
ἀλλ᾽ ἄγ᾽ ὀΐcτευcον Μενελάου κυδαλίμοιο,
εὔχεο δ᾽ Ἀπόλλωνι λυκηγενέι κλυτοτόξῳ
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
οἴκαδε νοcτήcαc ἱερῆc εἰc ἄcτυ Ζελείηc.

---

V. l. 83 τίθηcι ACEGHMN: τίθηcιν DLO Apoll. Lex. 163, 7. τιθεῖμεν Et. Mg. 794, 43, quod fortasse pertinet ad ω 476. — 84 ἀνθρώποιc M. ταμίαc G. — 85 ὡc A. ἄρά D. τίc GMO. τρῴων G. — 86 ἤδ᾽ CGHLMNO. ἱκέλη CGHLM. εἰκέλη D. τρῴων CGL. κατεδύcεθ᾽ N Townl. Vrat. b. κατεδύccεθ᾽ Lips. Mosc. 3. καταδύcεθ᾽ A: κατεδύcαθ᾽ CDGHMOS Mor. Et. Gud. 164, 24. κατεδύccαθ᾽ L Vrat. a. — 87 ἀντινορίδῃ G. κραταιῷ O. — 88 ἐφεύρη[οι] O. — 89 εὗρε δὲ DGL. — 90 ἀμφι A. — 91 ἔποντο[αι] O. ἀπαιcήποιο D. αἰcύποιο G. — 92 ἔπεα πτερόεντα προcηύδα (προcηῦδα D): προcέφη γλαυκῶπιc Ἀθήνη NS Cant. Lips. Mor. γρ. προcέφη γλαυκῶπιc ἀθήνη O in marg. — 93 ἤ ῥὰ νύ H. ἤ ῥὰ νύ μοι τί NO. νύ μοι τί CDGH. ἤ ῥά νύ μοι τι M. νύ μοι τι L. πείθοιο C. — 94 τλαίηc G. ἐπιπροέμεν A. — 95 κε ADEGH Schol. I 303: κεν LMNOS Vrat. b. c. κε omitt. C. τρῴεccι L. — 96 μάλιcτ᾽ C Lips. Townl. — 97 παρ᾽ ACDNO: πάρ᾽ EGHLM. — 98 ἴδοι O. ἀτρέωc DGNO. — 99 πυρῆc τ᾽ G Mor. Vrat. a. πυρῆc δ᾽ L. ἐπὶβάντ᾽ A. — 100 ἀλλά γ᾽ M Vrat. c. ἀλλά γε E. — 101 λυκηγενέϊ A. — 102 πρωτογόνων A. πρωτοτόκων Et. Gud. 78, 58. — 103 οἴκα δὲ A. ἱερῆc ἄcτυ γε Ζελείηc L.

---

A. c. 88 εἴ που ἐφεύροι: εὗρε δὲ τόνδε Zenodotus, τὸν δὲ δεύτερον (89) οὐδὲ γράφει Aristonicus. — 94 Menecrates Milesius ἐπιπροέμεν: ἔπι προέμεν Aristarchus. — 97 παρ᾽ Herodianus: alii πάρ᾽,

ὣϲ φάτ' Ἀθηναίη, τῷ δὲ φρέναϲ ἄφρονι πεῖθεν.
αὐτίκ' ἐϲύλα τόξον ἐΰξοον ἰξάλου αἰγὸϲ
ἀγρίου, ὅν ῥά ποτ' αὐτὸϲ ὑπὸ ϲτέρνοιο τυχήϲαϲ
πέτρηϲ ἐκβαίνοντα, δεδεγμένοϲ ἐν προδοκῇϲι,
βεβλήκει πρὸϲ ϲτῆθοϲ· ὃ δ' ὕπτιοϲ ἔμπεϲε πέτρῃ.
τοῦ κέρα ἐκ κεφαλῆϲ ἑκκαιδεκάδωρα πεφύκει·
καὶ τὰ μὲν ἀϲκήϲαϲ κεραοξόοϲ ἤραρε τέκτων,
πᾶν δ' εὖ λειήναϲ χρυϲέην ἐπέθηκε κορώνην.
καὶ τὸ μὲν εὖ κατέθηκε τανυϲϲάμενοϲ, ποτὶ γαίῃ
ἀγκλίναϲ· πρόϲθεν δὲ ϲάκεα ϲχέθον ἐϲθλοὶ ἑταῖροι,
μὴ πρὶν ἀναΐξειαν ἀρήιοι υἷεϲ Ἀχαιῶν,
πρὶν βλῆϲθαι Μενέλαον ἀρήιον, Ἀτρέοϲ υἱόν.
αὐτὰρ ὃ ϲύλα πῶμα φαρέτρηϲ, ἐκ δ' ἕλετ' ἰὸν
ἀβλῆτα πτερόεντα, μελαινέων ἕρμ' ὀδυνάων·
αἶψα δ' ἐπὶ νευρῇ κατεκόϲμει πικρὸν ὀιϲτόν,
εὔχετο δ' Ἀπόλλωνι λυκηγενέι κλυτοτόξῳ
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
οἴκαδε νοϲτήϲαϲ ἱερῆϲ εἰϲ ἄϲτυ Ζελείηϲ.
ἕλκε δ' ὁμοῦ γλυφίδαϲ τε λαβὼν καὶ νεῦρα βόεια·
νευρὴν μὲν μαζῷ πέλαϲεν, τόξῳ δὲ ϲίδηρον.
αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲϲ μέγα τόξον ἔτεινε,

V. l. 104 ἔφατ' D. — 105 ἐϲύλλα Eton. ἰξάλου Schol. B 827. Et. Gud. 131, 4. ἵξάλου A. — 106 ῥα H. ὑπο AEM. ϲτέρνοιο: ϲτέρνοιϲι Schol. B 827. — 107 προδοκῆϲι A Ambros. CDELMNO. προδόκαιϲι G. — 108 ὃδ' CDGHLMN. ἔπεϲε M. — 109 ἑκκαιδεκάδωρα A. ἑκκαίδεκα δῶρα G. — 110 κεραοξόοϲ A. — 111 λειήναϲ CG. ΛΙΗΝΑϹ ΚΡΥϹΕΗΝ Ambros. χρυϲῆν Et. Mg. 530, 25. — 112 τανυϲάμενοϲ EHMN. — 113 ἐγκλίναϲ H Lips. Eton. Vrat. a. — 114 ἀναΐξειαν: ἀναῤῥήξειαν Vrat. a. — 115 βλῆϲθαι: βεβλῆϲθαι N. βληθῆναι G. ἀτρέωϲ DG Vrat. a. b. Mosc. 1. ἀρήϊον ἀρχὸν ἀχαιῶν C. abest hic versus ab Etonensi. — 116 ὃ ACDGHLMNO. — 117 μελαινέων A: μελαινάων CDEGHLMNO Apoll. Lex. 2, 26. μελενάων Apoll. Lex. 76, 32. — 118 ἐπὶ: ἐπεὶ G. κατεκόϲμεε NS Cant. — 119 λυκηγενέϊ A. — 120 πρωτογόνων A. — 122 γλυφίδαϲ τὲ CMO. γλυφίδ' αὖτε G. — 123 πέλαϲε EGO. πέλαϲϲεν DM ex corr. — 124 *ἐπεὶ δὴ: libri ἐπειδή. ἔτεινε ACEHMO.

A. c. 107 δεδεγμένοϲ: δεδεχμένοϲ, conf. H. T. 224. — 117 ἀθετεῖται Aristonicus, conf. Apoll. Lex. 76, 34. μελαινέων: οὕτω διὰ τοῦ ε διὰ τὸ μέτρον Schol. A. — 118 κατεκόϲμεε, conf. H. U. 97. — 123 ὅτι Ζηνόδοτοϲ πρὸ τούτου τὸν ἑξῆϲ (124) τέταχεν Aristonicus. — 124 ἐπεὶ δὴ in duas dictiones resolvendum esse ostendunt ἐπεὶ οὖν δή ρ 226, ϲ 362, ἐπεὶ ἄρ δή α 231, ο 390, ἐπὴν δή Ν 285, Π 453, α 293, ε 363, ϲ 269 et docuit Io. Alexandr. 40, 21 ὁ εἰ δή καὶ ἐπεὶ δή δύο μέρη λόγου εἰϲὶν ὀξυνόμενα.

λίγξε βιός, νευρὴ δὲ μέγ᾽ ἴαχεν, ἆλτο δ᾽ ὀιςτὸς
ὀξυβελὴς καθ᾽ ὅμιλον ἐπιπτέςθαι μενεαίνων.
οὐδὲ ςέθεν Μενέλαε θεοὶ μάκαρες λελάθοντο
ἀθάνατοι, πρώτη δὲ Διὸς θυγάτηρ ἀγελείη,
ἥ τοι πρόςθε ςτᾶςα βέλος ἐχεπευκὲς ἄμυνεν.
ἡ δὲ τόςον μὲν ἔεργεν ἀπὸ χροός, ὡς ὅτε μήτηρ
παιδὸς ἐέργῃ μυῖαν, ὅθ᾽ ἡδέι λέξεται ὕπνῳ·
αὐτὴ δ᾽ αὖτ᾽ ἴθυνεν ὅθι ζωςτῆρος ὀχῆες
χρύςειοι ςύνεχον καὶ διπλόος ἤντετο θώρηξ.
ἐν δ᾽ ἔπεςε ζωςτῆρι ἀρηρότι πικρὸς ὀιςτός·
διὰ μὲν ἂρ ζωςτῆρος ἐλήλατο δαιδαλέοιο,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειςτο
μίτρης θ᾽, ἣν ἐφόρει ἔρυμα χροός, ἕρκος ἀκόντων,
ἥ οἱ πλεῖςτον ἔρυτο· διὰ πρὸ δὲ εἴςατο καὶ τῆς.
ἀκρότατον δ᾽ ἄρ᾽ ὀιςτὸς ἐπέγραψε χρόα φωτός·
αὐτίκα δ᾽ ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς.
ὡς δ᾽ ὅτε τίς τ᾽ ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ
Μῃονὶς ἠὲ Κάειρα, παρήιον ἔμμεναι ἵππων·
κεῖται δ᾽ ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήςαντο
ἱππῆες φορέειν· βαςιλῆι δὲ κεῖται ἄγαλμα,
ἀμφότερον, κόςμός θ᾽ ἵππῳ ἐλατῆρί τε κῦδος·

---

V. l. 125 ἆλτο ADEGHLMNO. ἄλτο C. ἅλτο S. — 126 ὀξυβελὴς A. — 129 πρόςθε EHN: πρόςθεν ACDGLMO. ἐχεπευκὲς A. — 130 ἡ δὲ C. — 131 ἐέργῃ AM Townl. Cram. Epim. 169, 14: ἐέργει CDEGHLNO. — 132 αὖθ᾽: αὖ Draco de Metr. 52, 5. — 133 ςὔνέχον G (sic). δίπλοος A. θώραξ G. — 135 ἀρ A. — 136 ἐρήριςτο D. — 137 μίτρης δ᾽ M. μίτρη θ᾽ L post ras. — 138 διὰ πρὸ ACDEM Schol. N 191, Υ 269: vulgo διαπρὸ. διαπρο δε L. διὰ προ δ᾽ N. δὲ εἴςατο libri omnes excepto N. — 139 ἆρ DGHM. ἀρ A. — 141 τ᾽ omitt. LO. μιήνη CD. μιήνει Apoll. Lex. 164, 30. — 142 ἠὲ: ἠδὲ S. ἵππων: ἵππου Eust. 1051, 61. γρ. ἵππω O. — 143 δέ μιν H. — 145 ἵππῳ: ἵππων DO Apoll. Lex. 6, 31. ἐλατῆρι τὲ CM. δὲ O Vrat. b. Et. Mg. 532, 16.

---

A. c. 126 ἐπιπτέςθαι Herodianus. — 129 ἥ τοι: οὕτω μετὰ τοῦ τ ἤ τοι Didymus. πρόςθεν, conf. H. U. 44. — 137 Aristarchus ἔρυμα: ἔλυμα Aristophanes cum Zenodoto, conf. Cram. An. Par. III, 9, 6; 282, 5. — 138 ἔρυτο Aristarchus. — 139 ἄρ᾽ ὀιςτὸς: ἄρα χαλκὸς Zenodotus. ἐπέργαψε χωρὶς τοῦ ν Aristarchus. — 140 ἀθετεῖται Aristonicus, conf. Apoll. Lex. 171, 27. — 141 ἐλέφαντα Aristarchus: alii ἐλεφαντά. — 142 διὰ τοῦ ι τινὲς τὸ Κάϊρα γράφουςιν Eust. 456, 12. ἵππων: διχῶς καὶ ἵππω (sic) δυϊκῶς καὶ πληθοντικῶς. ἐν δὲ τῇ κατὰ ᾽Αριςτοφάνη μόνως δυϊκῶς, conf. Grashof. „das Fuhrwerk bei Homer“ pg. 39, H. T. 144.

τοῖοί τοι Μενέλαε μιάνθην αἵματι μηροὶ
εὐφυέες κνῆμαί τε ἰδὲ σφυρὰ κάλ᾽ ὑπένερθε.
ῥίγησεν δ᾽ ἄρ᾽ ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
ὡς εἶδεν μέλαν αἷμα καταῤῥέον ἐξ ὠτειλῆς·
ῥίγησεν δὲ καὶ αὐτὸς ἀρηίφιλος Μενέλαος.
ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας,
ἄψοῤῥόν οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη.
τοῖς δὲ βαρὺ στενάχων μετέφη κρείων Ἀγαμέμνων,
χειρὸς ἔχων Μενέλαον· ἐπεστενάχοντο δ᾽ ἑταῖροι·
φίλε κασίγνητε, θάνατόν νύ τοι ὅρκι᾽ ἔταμνον,
οἶον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι,
ὥς σ᾽ ἔβαλον Τρῶες, κατὰ δ᾽ ὅρκια πιστὰ πάτησαν.
οὐ μέν πως ἅλιον πέλει ὅρκιον αἷμά τε ἀρνῶν
σπονδαί τ᾽ ἄκρητοι καὶ δεξιαί, ᾗς ἐπέπιθμεν.
εἴ περ γάρ τε καὶ αὐτίκ᾽ Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν,
σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·

---

V. ι. 146 τοῖοί τε H. μιάνθη L. μιάνθεν G. — 147 τε ἰδὲ ACDHLMNO: τε ἠδὲ GE. κάλλ᾽ C. ὑπένερθε AGHO. — 148 ῥίγησε EGH 1. man. MO. δ᾽ ἄρ DEGHLMO sup. δ᾽ ἀρ A. τὰρ O 1. man. τ᾽ ἄρ N. — 149 εἶδε M. — 150 ῥίγησε GMO. — 151 δὲ ἴδεν AHLM Lips. Harl. Townl. Vrat. a. Schol. φ 61. Cram. An. Par. III, 334, 15. δὲ ἴδε GO. δ᾽ ἴδεν Mosc. 1. 3. δ᾽ ἴδε E. δ᾽ εἶδεν CS. δ᾽ εἶδε DN Et. Mg. 613, 47. ὡς εἶδε Zonar. Lex. 1424. — 152 ἄψορον οἱ D. ἄψορρόν θ᾽ οἱ M. στήθεσιν G 1. man. — 153 τοῖς δὲ: τὸν δὲ LN. τόνδε G. τοὺς δὲ Schol. A 364. βαρὺ στενάχων A Schol. A 364: βαρυστενάχων CDEGHLMNO. μετέφη: προσέφη CNS et C (Cant.) L apud Bentl. — 154 ἐπεστονάχοντο GHL. — 155 φῖλε AG: ceteri φίλε. θάνατον ACD. ὅρκι᾽ D. όρκι᾽ A. ἔταμνον: ἔταμον N. γρ. ἔταμον O. — 156 οἶον DL. προ A. τρωσὶ L. — 157 ὡς omisso σ᾽ DGS. ᾧ σ᾽ Hesych. IV, 333. τρῷες GL. κατα CL. όρκια A. — 158 μέν περ S. μέν O. ἅλιον DL. πέλοι C et L apud Bentl. ὅρκιον D. αἷμα κατ᾽ ἀρνῶν M. — 159 ᾗς: αἷς GO Zonar. Lex. 831. — 160 ἐτέλεσεν M. — 162 σφῇσι EGHL 1. man. MNO Schol. B 259. τεκέεσσϊ H. — 163 κατα A bis.

---

A. c. 148 οὕτως ἀρίσταρχος ῥίγησεν δὰρ (sic) διὰ τοῦ δ̄ οὐ διὰ τοῦ τ̄ Didymus. — 149 ἀθετεῖται Aristonicus, conf. Schol. Ξ 424. — 151 δὲ ἴδεν Herodianus: alii δ᾽ εἶδεν. — 153 altera lectio erat τὸν δὲ....προσέφη, quae est integra in Cod. N. ex his duobus lectionibus conflatae sunt scripturae librorum, qui aut τοῖς δὲ προσέφη aut τὸν δὲ μέτεφη exhibent. στενάχων Aristarchus: Dion. Sidonius στεναχῶν. — 155 φῖλε Ptolem. Ascalonita, vide ad Ε 359 et Eust. 556, 34. — 161 τελεῖ...ἀπέτισαν: Zenodotus τελέσει et τίσουσιν. placet coniectura Bekkeri ἐκ δὲ pro ἔκ τε scribentis.

ἔϲϲεται ἦμαρ, ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴλιοϲ ἱρὴ
καὶ Πρίαμοϲ καὶ λαὸϲ ἐυμμελίω Πριάμοιο,
Ζεὺϲ δέ ϲφι Κρονίδηϲ ὑψίζυγοϲ, αἰθέρι ναίων,
αὐτὸϲ ἐπιϲϲείῃϲιν ἐρεμνὴν αἰγίδα πᾶϲι
τῆϲδ᾽ ἀπάτηϲ κοτέων. τὰ μὲν ἔϲϲεται οὐκ ἀτέλεϲτα·
ἀλλά μοι αἰνὸν ἄχοϲ ϲέθεν ἔϲϲεται, ὦ Μενέλαε,
αἴ κε θάνῃϲ καὶ πότμον ἀναπλήϲῃϲ βιότοιο.
καί κεν ἐλέγχιϲτοϲ πολυδίψιον Ἄργοϲ ἱκοίμην·
αὐτίκα γὰρ μνήϲονται Ἀχαιοὶ πατρίδοϲ αἴηϲ·
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωϲὶ λίποιμεν
Ἀργείην Ἑλένην· ϲέο δ᾽ ὀϲτέα πύϲει ἄρουρα
κειμένου ἐν Τροίῃ ἀτελευτήτῳ ἐπὶ ἔργῳ.
καί κέ τιϲ ὧδ᾽ ἐρέει Τρώων ὑπερηνορεόντων
τύμβῳ ἐπιθρῴϲκων Μενελάου κυδαλίμοιο·
αἴθ᾽ οὕτωϲ ἐπὶ πᾶϲι χόλον τελέϲει᾽ Ἀγαμέμνων,
ὡϲ καὶ νῦν ἅλιον ϲτρατὸν ἤγαγεν ἐνθάδ᾽ Ἀχαιῶν,
καὶ δὴ ἔβη οἶκον δὲ φίλην ἐϲ πατρίδα γαῖαν
ϲὺν κεινῇϲιν νηυϲί, λιπὼν ἀγαθὸν Μενέλαον.

---

V. l. 164 ἤμαρ D. ὅτ᾽ ἄν ACE 459, 29; 460, 14; 756, 9; 962, 40. ὅτάν DHMN: ὅταν E 460, 6 N Strabo XIII, 601. Schol. Θ 373, 527. ὀλώλει N. — 165 ἐϋμελίω GO Schol. B 461. ευμελίω D. ἐϋμελίωι C. ἐϋμμελίου L. — 166 ϲφι AE: ϲφιν CDGHLMOS Schol. Θ 5, I 418. γάρ ϲφιν N, conf. I 236, Σ 185, Ω 143; Λ 734, ξ 86, ο 524. — 167 ἐπιϲείῃϲιν E Schol. Θ 5. ἐπιϲείῃϲι DMO. ἐπιϲείῃϲι Schol. Δ 249. πᾶϲι CDE GHNO: πᾶϲιν ALM Schol. P 595. — 168 τῆϲδ᾽: τῆϲ Schol. β 315. — 169 ϲέθεν ἔϲϲεται: ἔϲεται ϲέθεν Et. Mg. 36, 3. — 170 πότμον: μοῖραν ACDEGHLMNO. γρ. πότμον H. — 171 καί κεν: ἤ κεν Bekk. An. 1155. πολυδίψιον A. πολὺ δίψιον D. — 173 καδδέκεν ACDGHLMNO. τρῳϲὶ L. λίποιμεν AHMO: λίποιεν CDGLNS Cant. Lips. Eton. — 174 πύϲϲει C. — 176 καί κεν D. τρῴων GL. — 177 ἐπιθρώιϲκων A: ceteri ἐπιθρώϲκων. — 178 τελέϲει᾽ ADO Cant. Apoll. de Synt. 247, 26; 250, 11: τελέϲει C 1. man. GHLM Schol. B 4. τελέϲει (αι supra) S. τελέϲοι EN. — 179 ἄλιον N. — 180 οἶκον δὲ AD: οἶκονδε CGHMNO. οἴκονδε L. οἰκόνδε E. — 181 κεινῇϲι DEHLMO. κειναῖϲι ναυϲὶ G. νέεϲϲι L. χερϲὶ et supra νηυϲὶ S Cant.

---

A. c. 170 πότμον Aristarchus pro μοῖραν quod legebatur ἐν ταῖϲ κοιναῖϲ. conf. Λ 263 πότμον ἀναπλήϲαντεϲ. — 171 ἐλέγχιϲτοϲ et ἐλέγχιϲτον Aristarchus (διχῶϲ). πολυδίψιον: τοῦτο ἀντὶ τοῦ πολυπόθητον κεῖται, ἢ χωρὶϲ τοῦ δ πολυΐψιον· καὶ ϲὺν τῷ δ δὲ ὑπερβάτωϲ δέχονταί τινεϲ κατὰ ϲυναλοιφὴν μετὰ τοῦ ϲυνδέϲμου τοῦ δέ, ἵν᾽ ᾖ οὕτωϲ „καί κεν ἐλέγχιϲτοϲ πολὺ δ᾽ ἴψιον Ἄργοϲ ἱκοίμην“ [ἢ] πολυΐψιον Ἄργοϲδε ἱκοίμην ἀντὶ τοῦ „εἰϲ Ἄργοϲ“ Strabo VIII, 370, conf. Eust. 461, 7. — 174 Ἀργείην θ᾽ Ἑλένην Zenodotus, conf. Schol. B 161. — 178 τελέϲει᾽ conf. H. U. 243.

ὥς ποτέ τις ἐρέει· τότε μοι χάνοι εὐρεῖα χθών.
τὸν δ᾽ ἐπιθαρσύνων προσέφη ξανθὸς Μενέλαος·
θάρσει, μὴ δέ τί πω δειδίσσεο λαὸν Ἀχαιῶν.
οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος, ἀλλὰ πάροιθεν
εἰρύσατο ζωστήρ τε παναίολος ἠδ᾽ ὑπένερθε
ζῶμά τε καὶ μίτρη, τὴν χαλκῆες κάμον ἄνδρες.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
αἲ γὰρ δὴ οὕτως εἴη, φίλος ὦ Μενέλαε·
ἕλκος δ᾽ ἰητὴρ ἐπιμάσσεται ἠδ᾽ ἐπιθήσει
φάρμαχ᾽, ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων.
ἦ, καὶ Ταλθύβιον, θεῖον κήρυκα, προσηύδα·
Ταλθύβι᾽, ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον,
φῶτ᾽ Ἀσκληπιοῦ υἱόν, ἀμύμονος ἰητῆρος,
ὄφρα ἴδῃ Μενέλαον ἀρήιον, Ἀτρέος υἱόν,
ὅν τις ὀιστεύσας ἔβαλεν τόξων εὖ εἰδὼς
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.
ὣς ἔφατ᾽, οὐδ᾽ ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας,
βῆ δ᾽ ἰέναι κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
παπταίνων ἥρωα Μαχάονα. τὸν δὲ νόησεν
ἑσταότ᾽· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν, οἵ οἱ ἕποντο Τρίκης ἐξ ἱπποβότοιο.

---

V. l. 182 ὡς M. τότέ μοι CDO. τότ᾽ ἐμοὶ Apoll. Lex. 17, 22. χάνει L. — 183 ἐπιθαρσήσας Vrat. c. — 184 μὴ δέ τι ACDO. μὴ δ᾽ ἔτι LM, ceteri μηδέ τι. πω omnes. δειδίσεο D. δειδείσαιο G. — 185 οὐ θὴν καί-
η
ριον ὀξὺ βέλος πάγη Harl. — 186 ἐρύσατο D. ἦδ᾽ D. οὐδ᾽ H. ὑπένερθε ACGHM Schol. Δ 135. — 189 ὦ omitt. G. — 190 ἢ δ᾽ D. — 191 ἅ κεν: ἅπερ L. παύσῃ σε G. παύσῃ τε Mosc. 3. ex corr. — 192 προσηῦδα D. — 193 ὅτι A. — 195 ὄφρα ADHLMNOS: ὄφρ᾽ CG Ven. B Harl. Townl. ἀτρέος υἱόν AN Townl. ἀτρέως υἱόν D: ἀρχὸν ἀχαιῶν CGHLMOS. γρ.
τις
ἀρχὸν ἀχαιῶν A. — 196 ὅν τϊν᾽ C. τίς GM. ἔβαλε G Schol. Γ 315. ἔβαλλε M. — 196, 197 omitt. D, habet O in margine. — 197 τρῴων GL. τὼ μὲν C. — 198 ὡς A. ἄρά οἱ MNO. κήρυξ DLN. — 200 * δὲ νόησεν: libri δ᾽ ἐνόησεν. — 201 ἀμφι A. — 202 τρίκκης AC 1. man. HLMN Harl. Vrat. a. θρήκης D. conf. B 729 οἳ δ᾽ εἶχον Τρίκκην, qua scripturae inconstantia motus Bothe. coniecit οἳ Τρίκκης οἱ ἕποντ᾽ vel ἕποντ᾽ ἐκ Τρίκκης.

---

A. c. 184 πω: οὔτω π̄ω̄ ἀρίσταρχος, οὐχὶ π̄ο̄ῡ, ὥς τινες Didymus. in codice π̄ω̄ est scriptum, non π̄ω̄ς̄, ut Bekk. edidit. — 194 οὐ περιττὸς ὁ στίχος Schol. BL. — 195 ὁ ὄβελος καὶ ἀστερίσκος ὅτι νῦν παρέλκει (= περιττός ἐστι) Aristonicus. pertinere simul ad vss. 196, 197 monuit Friedlaender. recte, nam in codice his versibus et asterisci et obeli sunt adpicti.

ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
ὄρσ᾽ Ἀσκληπιάδη, καλέει κρείων Ἀγαμέμνων,
ὄφρα ἴδῃ Μενέλαον ἀρήιον, ἀρχὸν Ἀχαιῶν,
ὅν τις ὀιστεύσας ἔβαλεν τόξων εὖ εἰδὼς
Τρώων ἢ Λυκίων, τῷ μὲν κλέος, ἄμμι δὲ πένθος.
ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·
βὰν δ᾽ ἰέναι καθ᾽ ὅμιλον ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκανον ὅθι ξανθὸς Μενέλαος
βλήμενος ἦν, περὶ δ᾽ αὐτὸν ἀγηγέραθ᾽ ὅσσοι ἄριστοι
κυκλόσ᾽, ὃ δ᾽ ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς,
αὐτίκα δ᾽ ἐκ ζωστῆρος ἀρηρότος ἕλκεν ὀιστόν·
τοῦ δ᾽ ἐξελκομένοιο πάλιν ἄγεν ὀξέες ὄγκοι.
λῦσε δέ οἱ ζωστῆρα παναίολον ἠδ᾽ ὑπένερθε
ζῶμά τε καὶ μίτρην, τὴν χαλκῆες κάμον ἄνδρες.
αὐτὰρ ἐπεὶ ἴδεν ἕλκος, ὅθ᾽ ἔμπεσε πικρὸς ὀιστός,
αἷμ᾽ ἐκμυζήσας ἐπ᾽ ἄρ᾽ ἤπια φάρμακα εἰδὼς
πάσσε, τά οἵ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.
ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον,
τόφρα δ᾽ ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων·
οἳ δ᾽ αὖτις κατὰ τεύχε᾽ ἔδυν, μνήσαντο δὲ χάρμης.
ἔνθ᾽ οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον,
οὐδὲ καταπτώσσοντ᾽, οὐδ᾽ οὐκ ἐθέλοντα μάχεσθαι,

---

V. L. 203 προσηῦδα D. γρ. ἀγόρευεν A. — 204 ὄρσε᾽ S. — 205 ἴδῃ ACDH Lips. Townl. Eton. Mosc. 1. Apoll. Lex. 125, 12: ἴδῃς GLMNOS. ἀρχὸν ἀχαιῶν ACHN Townl. Eton. Apoll. Lex. 125, 12: ἀτρέος υἱόν DGLMOS. — 206 ὅν τϊν᾽ (τις) C. τίς GMO. ἔβαλε GO Lips. ἔβαλλε M. — 207 τρώων GL. τὼ μὲν C. — 208 ὥς A. φᾶτο D. τοῦ δ᾽ ἄρα N. ὄρινε ACD GHLMO. — 209 βᾶν DHM. ἀνα A. κατὰ M. — 212 κυκλὸς D 1. man. κϋκλοσφ᾽ M. ὅδ᾽ CDGHLMNO. μέσοισι DGHM. — 213 εἶλκεν ACGHM NOS. εἵλκεν D: ἕλκεν L, cf. 122. — 214 πάλιν, ἄγεν A. — 215 λύσαι δέ οἱ D. ἦδ᾽ D. ἠδ᾽ Apoll. Lex. 81, 18. ὑπένερθε ACHMO Apoll. Lex. 81, 18. — 216 κάμον: τάμον M. — 217 εἶδεν D. — 218 ἂρ DGHLM. ἀρ A. ἐπί τ᾽ ἤπια φάρμακ᾽ ἔπασσον Plato Rep. III, 408 A. — 219 τά οἱ ποτὲ ACDGHLMNO. — 220 ὄφρά τοι N. τοι DG. οἳ O. — 221 ἐπϊ C. τρώων GL. — 222 οἳ δ᾽ D. οἵδ᾽ CHLMN. αὖθις C. κατα ACDGL. κατά τ᾽ ἔντε᾽ ἐδυντο N. ἔδυνον O. — 223 ἴδῃς N. ἴδὲς M. — 224 καταπτώσοντ᾽ MN Townl. καταπτώσσοντα DE.

---

A. c. 205—207 νῦν δεόντως λέγονται (Cod. λέγεται) πρὸς Μαχάονα ὑπὸ τοῦ κήρυκος Aristonicus, conf. ad 195. — 205 οὕτως ἀρίσταρχος χωρὶς τοῦ σ ἴδῃ Didymus. — 212 κυκλόσ᾽ Nicias, Ptolemaeus, Herodianus: κύκλος Aristarchus, conf. Schol. P 392. — 213 ἀρίσταρχος ἰακῶς ἕλκεν, καὶ αἱ πλείους Didymus.

ἀλλὰ μάλα ϲπεύδοντα μάχην ἐϲ κυδιάνειραν.
ἵππουϲ μὲν γὰρ ἔαϲε καὶ ἅρματα ποικίλα χαλκῷ·
καὶ τοὺϲ μὲν θεράπων ἀπάνευθ᾽ ἔχε φυϲιόωνταϲ
Εὐρυμέδων, υἱὸϲ Πτολεμαίου Πειραΐδαο·
τῷ μάλα πόλλ᾽ ἐπέτελλε παριϲχέμεν, ὁππότε κέν μιν
γυῖα λάβῃ κάματοϲ πολέαϲ διὰ κοιρανέοντα·
αὐτὰρ ὃ πεζὸϲ ἐὼν ἐπεπωλεῖτο ϲτίχαϲ ἀνδρῶν.
καί ῥ᾽ οὓϲ μὲν ϲπεύδονταϲ ἴδοι Δαναῶν ταχυπώλων,
τοὺϲ μάλα θαρϲύνεϲκε παριϲτάμενοϲ ἐπέεϲϲιν·
'Αργεῖοι, μή πώ τι μεθίετε θούριδοϲ ἀλκῆϲ·
οὐ γὰρ ἐπὶ ψευδέϲϲι πατὴρ Ζεὺϲ ἔϲϲετ᾽ ἀρωγόϲ,
ἀλλ᾽ οἵ περ πρότεροι ὑπὲρ ὅρκια δηλήϲαντο,
τῶν ἦ τοι αὐτῶν τέρενα χρόα γῦπεϲ ἔδονται,
ἡμεῖϲ αὖτ᾽ ἀλόχουϲ τε φίλαϲ καὶ νήπια τέκνα
ἄξομεν ἐν νήεϲϲιν, ἐπὴν πτολίεθρον ἕλωμεν.
οὕϲ τιναϲ αὖ μεθιένταϲ ἴδοι ϲτυγεροῦ πολέμοιο,
τοὺϲ μάλα νεικείεϲκε χολωτοῖϲιν ἐπέεϲϲιν·
'Αργεῖοι ἰόμωροι, ἐλεγχέεϲ, οὔ νυ ϲέβεϲθε;
τίφθ᾽ οὕτωϲ ἔϲτητε τεθηπότεϲ ἠύτε νεβροί,
αἵ τ᾽ ἐπεὶ οὖν ἔκαμον πολέοϲ πεδίοιο θέουϲαι,
ἑϲτᾶϲ᾽, οὐδ᾽ ἄρα τίϲ ϲφι μετὰ φρεϲὶ γίγνεται ἀλκή·
ὣϲ ὑμεῖϲ ἔϲτητε τεθηπότεϲ οὐδὲ μάχεϲθε.
ἦ μένετε Τρῶαϲ ϲχεδὸν ἐλθέμεν, ἔνθά τε νῆεϲ

---

V. L. 226 habet O in margine. — 229 παριϲχέμεν AGHNOS: παραϲχέμεν CDLM Cant. Mor. L apud Bentl. Vrat. A. Mosc. 1. — 230 λάβοι M Harl. διακοιρανέοντα ACDGHLMNO. — 231 ὁ ACDGHLMNO. — 233 ἐπέεϲϲι D. — 234 μήπω τι ACDLMN. μήπω τοι G. μήπω τό H. μήποτε E 466, 23. μεθείετε AHN Townl. — 235 ἐπὶ ψευδέϲϲι E 467, 17: ἐπιψευδέϲϲι E 466, 23. — 236 ὑπερόρκια ACDEGHLMN. — 238 δ᾽ αὖτ᾽ ACDEGHLMOS. — 240 δ᾽ αὖ N, an ὅν τινα δ᾽ αὖ μεθιέντα? conf. Μ 268, Ν 229. — 241 χολωτοῖϲ EO. ἐπέεϲϲι M. — 242 ϲεύεϲθε H. — 243 οὕτωϲ: αὔτωϲ Schol. Χ 1. ἔϲτητε AHMO: ἕϲτητε CDEGLN Pseudoplut. 123, 17. Schol. Χ 1. νεβροί: νευροί G. — 245 ἐϲτᾶϲ᾽ D. ἑϲτάϲ᾽ N. τί ϲφι MN. γίγνεται LN: γίνεται CDEGHMO. γείνεται A. — 246 ὡϲ A. ἕϲτητε DEHLN Apoll. Lex. 150, 28. ἑϲτήκατε G. — 247 ἠ DHLMO Schol. Ε 466. τρῷαϲ G. ἔνθά τε ACDM.

---

A. c. 228 Πειραΐδαο: Πειραίδαο Tyrannio τετραϲυλλάβωϲ. — 235 Hermappias ψεύδεϲϲι: ψευδέϲϲι Ptolemaeus cum Aristarcho, conf. Et. Gud. 573, 24. — 238 ἡμεῖϲ αὖτ᾽ Aristarchus, non δ᾽ αὖτ᾽. — 242 ἐλεγχέεϲ Aristarchus, conf. Schol. Ε 787. mallem ἐλέγχεα ut Β 235, Ω 260, Hes. Theog. 26. conf. H. T. 250. — 243 ἔϲτητε: ἕϲτητε Ptolemaeus. — 245 τίϲ ϲφι, non τι ϲφι, Aristarchus, ut Ζ 438.

εἰρύατ᾽ εὔπρυμνοι, πολιῆϲ ἐπὶ θινὶ θαλάϲϲηϲ,
ὄφρα ἴδητ᾽, αἴ κ᾽ ὔμμιν ὑπέρϲχῃ χεῖρα Κρονίων;
ὣϲ ὅ γε κοιρανέων ἐπεπωλεῖτο ϲτίχαϲ ἀνδρῶν·
ἦλθε δ᾽ ἐπὶ Κρήτεϲϲι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
οἳ δ᾽ ἀμφ᾽ Ἰδομενῆα δαΐφρονα θωρήϲϲοντο·
Ἰδομενεὺϲ μὲν ἐνὶ προμάχοιϲ, ϲυὶ εἴκελοϲ ἀλκήν,
Μηριόνηϲ δ᾽ ἄρα οἱ πυμάταϲ ὤτρυνε φάλαγγαϲ.
τοὺϲ δὲ ἰδὼν γήθηϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα δ᾽ Ἰδομενῆα προϲηύδα μειλιχίοιϲιν·
Ἰδομενεῦ, περὶ μέν ϲε τίω Δαναῶν ταχυπώλων
ἠμὲν ἐνὶ πτολέμῳ ἠδ᾽ ἀλλοίῳ ἐπὶ ἔργῳ
ἠδ᾽ ἐν δαίθ᾽, ὅτε πέρ τε γερούϲιον αἴθοπα οἶνον
Ἀργείων οἱ ἄριϲτοι ἐνὶ κρητῆρι κέρωνται.
εἴ περ γάρ τ᾽ ἄλλοι γε κάρη κομόωντεϲ Ἀχαιοὶ
δαιτρὸν πίνωϲιν, ϲὸν δὲ πλεῖον δέπαϲ αἰεὶ
ἕϲτηχ᾽, ὥϲ περ ἐμοί, πιέειν, ὅτε θυμὸϲ ἀνώγῃ.
ἀλλ᾽ ὄρϲευ πόλεμον δ᾽, οἷοϲ πάροϲ εὔχεαι εἶναι.
τὸν δ᾽ αὖτ᾽ Ἰδομενεύϲ, Κρητῶν ἀγόϲ, ἀντίον ηὔδα·

---

V. l. 248 habet Lips. in margine. εὔπρυμνοι A. ἐπὶ χθονὶ θαλάϲϲηϲ D. — 249 ὄφρ᾽ C Mosc. 1. ἴδοιτ᾽ N. αἴ χ᾽ ὑμῖν D. αἴ κεν ὔμιν Cram. An. Par. III, 135, 13. αἴχ᾽ ὔμμιν M Mosc. 3. ὔμμιν EN. — 250 ὥϲ A. — 251 ἦλθεν ἐπὶ Eust. 179, 17. — 252 οἳ δ᾽ L. οἵδ᾽ HMNO. οἵδ᾽ C (sic). θωρήϲοντο L. θωρίϲϲοντο D. — 253 μὲν ἐπὶ G. ἐνι A. εἴκελοϲ: ἴκελοϲ GMNO Lips. a man. rec. ἴκελοϲ E. — 254 μῦριόνηϲ H. — 255 τούϲδε G. — 256 προϲηῦδα D. — 257 περὶ ADHMN Et. Mg. 142, 16. Et. Gud. 47, 55. Cram. Epim. 15, 25; 42, 1: πέρι CGLO Et. Mg. 94, 18; 758, 40. — 258 ἦδ᾽ D. — 259 ἦδ᾽ AD. δαιτὶ D. δαιτὶ (θ᾽ suprascr.) A. δαῖθ᾽ H. — 260 κρητῆρι: κρητῆρϲι ACDEGHLMNOS. — 261 κάρη κομόωντεϲ A: ceteri καρηκομόωντεϲ. — 262 πίνωϲι DEGO. — 263 ἕϲτηχ᾽ HN. έϲτηχ᾽ A. πιέμεν N. *ἀνώγῃ: ἀνώγοι ACDGHM Athenaeus V, 193. Lucianus 48, 45. ἀνώγει (οι suprascr.) LN. ἀνώγει EO Vrat. a. b. a. man. sec. — 264 πόλεμον δ᾽ AD. εὔχεαι ACDLNOS Cant. Harl. Vrat. a b.: εὔχεο GHM. — 265 αὖτ᾽, non αὖ, libri mei. ηὖδα D.

---

A. c. 249 κ᾽ ὔμμιν διὰ τοῦ κ̄ Herodianus, conf. Schol. A 335. — 259 δαιτὶ, conf. H. U. 126. — 260 ἀρίϲταρχοϲ ἑνικῶϲ ἐνικρητηρι Didymus. — 263 ἀνώγῃ: libri aut indicativum aut optativum exhibent, quorum neuter hic ferri potest. in hac re librorum nulla fere est auctoritas, nec quicquam impedit, quominus coniunctivum reponamus, qui hoc loco necessarius est. e. g. conf. librorum scripturas κινήϲει B 147, 395; Π 264, 298; φιλήϲει I 117; ὁρμήϲει N 64; ἡγεμονεύειϲ O 46; ποιήϲει O 363; ἡγεμονεύει Φ 258; ἐθείρει Φ 347; ἐπικλώϲει δ 207; ἀποδώϲει θ 318, et quae exempla congessimus ad Δ 483.

Ἀτρείδη, μάλα μέν τοι ἐγὼν ἐρίηρος ἑταῖρος
ἔccομαι, ὡc τὸ πρῶτον ὑπέcτην καὶ κατένευcα·
ἀλλ᾽ ἄλλουc ὄτρυνε κάρη κομόωνταc Ἀχαιούc,
ὄφρα τάχιcτα μαχώμεθ᾽, ἐπεὶ cύν γ᾽ ὅρκι᾽ ἔχευαν
Τρῶεc· τοῖcιν δ᾽ αὖ θάνατοc καὶ κήδε᾽ ὀπίccω
ἔccετ᾽, ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήcαντο.
ὣc ἔφατ᾽, Ἀτρείδηc δὲ παρῴχετο γηθόcυνοc κῆρ.
ἦλθε δ᾽ ἐπ᾽ Αἰάντεccι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
τὼ δὲ κορυccέcθην, ἅμα δὲ νέφοc εἵπετο πεζῶν.
ὡc δ᾽ ὅτ᾽ ἀπὸ cκοπιῆc εἶδεν νέφοc αἰπόλοc ἀνὴρ
ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο ἰωῆc·
τῷ δέ τ᾽ ἄνευθεν ἐόντι μελάντερον ἠύτε πίccα
φαίνετ᾽ ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν,
ῥίγηcέν τε ἰδὼν ὑπό τε cπέοc ἤλαcε μῆλα·
τοῖαι ἅμ᾽ Αἰάντεccι διοτρεφέων αἰζηῶν
δήιον ἐc πόλεμον πυκιναὶ κίνυντο φάλαγγεc
κυάνεαι, cάκεcίν τε καὶ ἔγχεcι πεφρικυῖαι.
καὶ τοὺc μὲν γήθηcεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί cφεαc φωνήcαc ἔπεα πτερόεντα προcηύδα·
Αἴαντ᾽, Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
cφῶι μέν, οὐ γὰρ ἔοικ᾽ ὀτρυνέμεν, οὔ τι κελεύω·
αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετον ἶφι μάχεcθαι.
αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
τοῖοc πᾶcιν θυμὸc ἐνὶ cτήθεccι γένοιτο·
τῶ κε τάχ᾽ ἠμύcειε πόλιc Πριάμοιο ἄνακτοc

V. l. 266 ἐγὼ M. — 267 τοπρῶτον LMNO. — 268 ὤτρυνε M. κάρη κομώονταc A. — 269 ὅρκι᾽ D. — 270 τρῷεc L. τοῖcι DEGMO. δ᾽ αὖ: δὲ C. — 271 ὑπὲρ ὅρκια EO: ὑπερόρκια ACDGHLMN. ὅρκι᾽ ἐδηλήcαντο Vrat. a. — 272 ὡc A. δ᾽ ὑπερώχετο M. — 273 ἦλθεν ἐπ᾽ E. ἀνα A. — 274 τώγ᾽ ἐκορυccέcθην M. κορυcέcθην GL 1. man. — 275 ἀπο A. εἶδε DE bis GHMNO Lips. — 276 κατα A. ὑπο A. — 277 τῷ δ᾽ ἀπάνευθεν N. τῷ δ᾽ ἔτ᾽ H. ἐόντι: ἰόντι MS. ἰόντι ἢ ἐόντι Eust. 471, 28. — 279 ῥίγηcέ E. — 280 $\overset{αι}{τοῖοι}$ C. αἰάντεccϊν ἀρηϊθόων H. διοτροφέων GS Lips. — 281 πυκναὶ S. — 282 cάκεcί E. cάκεccί N. cάκκεccίν D. — 283 καὶ μὲν, τοὺc, L. — 284 καὶ cφέαc DGO. — 286 $\overset{c}{κελεύω}$ Vrat. b. — 289 πᾶcι CDGMNO Schol. B 372. ἐνι A. — 290 τῶ ACDGHLMO. ἠμύcειε G. ἠμύccειε L.

A. c. 277 Zenodotus ἰόντι: ἐόντι Aristarchus. — 282 κυάνεαι: ἡρώων Zenodotus. πεφρικυῖαι et βεβριθυῖαι Aristarchus διχῶc, conf. Schol. H 62.

χερϲὶν ὑφ᾽ ἡμετέρῃϲιν ἁλοῦϲά τε περθομένη τε.
ὣϲ εἰπὼν τοὺϲ μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ᾽ ἄλλουϲ·
ἔνθ᾽ ὅ γε Νέϲτορ᾽ ἔτετμε, λιγὺν Πυλίων ἀγορητήν,
οὓϲ ἑτάρουϲ ϲτέλλοντα καὶ ὀτρύνοντα μάχεϲθαι,
ἀμφὶ μέγαν Πελάγοντα Ἀλάϲτορά τε Χρομίον τε
Αἵμονά τε κρείοντα Βίαντά τε, ποιμένα λαῶν.
ἱππῆαϲ μὲν πρῶτα ϲὺν ἵπποιϲιν καὶ ὄχεϲφι,
πεζοὺϲ δ᾽ ἐξόπιθε ϲτῆϲεν πολέαϲ τε καὶ ἐϲθλοὺϲ
ἕρκοϲ ἔμεν πολέμοιο· κακοὺϲ δ᾽ ἐϲ μέϲϲον ἔλαϲϲεν,
ὄφρα καὶ οὐκ ἐθέλων τιϲ ἀναγκαίῃ πολεμίζοι.
ἱππεῦϲιν μὲν πρῶτ᾽ ἐπετέλλετο· τοὺϲ γὰρ ἀνώγει
ϲφοὺϲ ἵππουϲ ἐχέμεν, μὴ δὲ κλονέεϲθαι ὁμίλῳ·
μηδέ τιϲ ἱπποϲύνῃ τε καὶ ἠνορέηφι πεποιθὼϲ
οἶοϲ πρόϲθ᾽ ἄλλων μεμάτω Τρώεϲϲι μάχεϲθαι,
μηδ᾽ ἀναχωρείτω· ἀλαπαδνότεροι γὰρ ἔϲεϲθε.
ὃϲ δέ κ᾽ ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ᾽ ἅρμαθ᾽ ἵκηται,
ἔγχει ὀρεξάϲθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτω.
ὧδε καὶ οἱ πρότεροι πόλιαϲ καὶ τείχε᾽ ἐπόρθεον
τόνδε νόον καὶ θυμὸν ἐνὶ ϲτήθεϲϲιν ἔχοντεϲ.

---

V. l. 291 ἡμετέροιϲιν G. ἡμετέρῃϲι O. ἀλοῦϲά D. — 292 ὥϲ A. — 293 λιγὴν M. πηλίων GN. — 294 ὀτρυνέοντα C. — 295 χρόμϊόν CDGHM Et. Mg. 35, 25. τε ϲχέδιόν τε L. — 296 αἵμονά N. κρείοντα G, ut sit nomen proprium. αἵμονά τε κρίοντα θόωνά τε δηΐπυρόν τε Apoll. Lex. 14, 9, conf. N 92. — 297 πρώτιϲτα Vrat. b. c. Mosc. 1. 3. πρῶτον M. ἵπποιϲι DEGL. ὄχεϲφι CMN Cram. An. Par. III, 283, 9. Pseudoplut. 156, 19: ὄχεϲφιν ADEGHLO. — 298 ἐξόπιθεν ADLO Maxim. Tyr. Diss. XVI, 6. Pseudoplut. 156, 19. ἐξόπιϲθεν CGH. ἐξώπιϲθεν N. ἐξόπιϲθε E. ϲτῆϲε EG. ϲτῆϲαν M. τε AC. — 299 μέϲον CGM. — 300 τίϲ CMNO. πολεμίζῃ DMNOS Schol. Δ 296. πολεμίζειν L. — 301 ἱππεῦϲι GHMNO Lips. ἱππεῦϲι μὲν πρώτοιϲ ἐπετέλλετο Schol. A 16. ἐπιτέλλετο S. τοὺϲ
γαρ
μὲν DLMNO Cant. Harl. Vrat. a. b. μὲν A. — 302 μὴ δὲ CDGHLMNO. — 303 μὴ δέ CDLNO. ἱπποϲύνηϲϊ καὶ D. ἠνορέηφϊ CEG Hesych. II, 282. — 304 τρώεϲϲι CGL. — 305 μὴ δ᾽ CDGHMNO. — 306 ὃϲ δ᾽ ἂν E. — 307 ἐγχεϊ D. ἐπειῆ A. ἐπεὶ ἠ CD: ceteri ἐπειή. πολυφέρτερον G. οὕτω ACDEGHLMNO Lips. — 308 ὧϲ δὲ καὶ D. πόλιαϲ A in marg. CDEG LMO: πόλεαϲ AH. πόλειϲ N. ἐπόρθεον A Townl.: ἐπόρθουν CEGHLM NOS. ἐπόρθο D (sic). — 309 ἐνι A. ϲτήθεϲιν GM.

---

A. c. 295 Χρομίον veteres, conf. H. T. 399. — 299 οὕτωϲ ἀρίϲταρχοϲ ἔλαϲϲεν, ἄλλοι δὲ ἔεργεν Didymus. — 308 πόλεαϲ Aristarchus, Ptolemaeus, Herodianus: alii πολέαϲ, vel πόλιαϲ. πόλιαϲ legitur etiam θ 560, 574 πόλιεϲ ο 412. ἐπόρθεον in fine versus scribendum est ut ρ 161 ἐγεγώνεον, conf. H 310, Λ 282, Ξ 116, P 142, Υ 218.

ὣϲ ὁ γέρων ὤτρυνε πάλαι πολέμων εὖ εἰδώϲ.
καὶ τὸν μὲν γήθηϲεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ὦ γέρον, εἴθ᾽, ὡϲ θυμὸϲ ἐνὶ ϲτήθεϲϲι φίλοιϲιν,
ὥϲ τοι γούναθ᾽ ἕποιτο, βίη δέ τοι ἔμπεδοϲ εἴη.
ἀλλά ϲε γῆραϲ τείρει ὁμοίιον· ὡϲ ὄφελέν τιϲ
ἀνδρῶν ἄλλοϲ ἔχειν, ϲὺ δὲ κουροτέροιϲι μετεῖναι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιοϲ ἱππότα Νέϲτωρ·
Ἀτρείδη, μάλα μέν τοι ἐγὼν ἐθέλοιμι καὶ αὐτὸϲ
ὣϲ ἔμεν, ὡϲ ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
ἀλλ᾽ οὔ πωϲ ἅμα πάντα θεοὶ δόϲαν ἀνθρώποιϲιν·
εἰ τότε κοῦροϲ ἔα, νῦν αὖτέ με γῆραϲ ὀπάζει.
ἀλλὰ καὶ ὣϲ ἱππεῦϲι μετέϲϲομαι ἠδὲ κελεύϲω
βουλῇ καὶ μύθοιϲι· τὸ γὰρ γέραϲ ἐϲτὶ γερόντων.
αἰχμὰϲ δ᾽ αἰχμάϲϲουϲι νεώτεροι, οἵ περ ἐμεῖο
ὁπλότεροι γεγάαϲι πεποίθαϲίν τε βίηφιν.
ὣϲ ἔφατ᾽, Ἀτρείδηϲ δὲ παρῴχετο γηθόϲυνοϲ κῆρ.
εὗρ᾽ υἱὸν Πετεῶο Μενεϲθῆα πλήξιππον
ἑϲταότ᾽· ἀμφὶ δ᾽ Ἀθηναῖοι, μήϲτωρεϲ ἀυτῆϲ·
αὐτὰρ ὃ πληϲίον ἑϲτήκει πολύμητιϲ Ὀδυϲϲεύϲ,
πὰρ δὲ Κεφαλλήνων ἀμφὶ ϲτίχεϲ οὐκ ἀλαπαδναὶ

---

V. l. 310 ὡϲ A. ὄτρυνε HM Harl. — 311 καὶ μὲν τὸν O. — 312 προϲηῦδα D. — 313 ἐνι A. — 314 ὣϲ καὶ γούναθ᾽ G. δέ ϲοι M. — 315 ὁμοίοιον GH. ὣϲ G. ὄφελέ N. — 318 μέν τοι ACDEGHMN Lips. Townl. Vrat. a. b. Mosc. 1.: μέν κεν LO. μέν γε Harl. — 319 κατέκταν A. (ο above α) κατέκτον C. — 320 ἀνθρώποιϲ D. ἀνθρώποιϲι M. — 321 εἴ ποτε Schol. Є 533. ἔα: ἔην N. ὀπάζει: ἱκάνει ACEGHLMNOS Plato Conviv. 173 A. Schol. Є 533, θ 186. ἱκάνοι D. — 322 ὣϲ O Cram. Epim. 449, 16. Io. Alexandr. 32, 1. ὡϲ A. ceteri ὣϲ. μετέϲϲομαι: μετείϲομαι L. — 323 βουλαῖϲ H. — 324 αἰχμάϲουϲι G Barocc. Lips. ἐμοῖο G 1. man. MNS Et. Mg. 628, 26. — 325 πεποίθαϲί DGEMN. βίηφι ADHLMN. βίῃφι CEG. βίῃφιν O. — 326 ὡϲ A. — 328 ἐϲταότ᾽ D. ἑϲταῶτ᾽ Schol. K 167. ἑϲταῶτ᾽ N. μνήϲτορεϲ O. — 329 ὃ ACDGHLMO. αὐτὰρ οἱ N. ἑϲτήκει AGH Townl. Vrat. b. Mosc. 1.: εἱϲτήκει CDLMNOS. — 330 παρ D. κεφαλήνων DMO 1. man. ἀμφι AM.

---

A. c. 319 κατέκταν Herodianus cum Aristarcho, conf. Schol. B 662. Cram. Epim. 224, 13. — 320 ὁ ἀϲτερίϲκοϲ καὶ ὁ ὀβελόϲ Aristonicus, conf. N 729. — 321 ἀρίϲταρχοϲ γῆραϲ ὀπάζει ἐπείγει ἐλαύνει ἀπὸ δὲ τοῦ κάτοπιν ἐϲχημάτιϲται Didymus, conf. Schol. Θ 103 οὕτωϲ ἀρίϲταρχοϲ ὀπάζει, ὁ δὲ ἰξίων ἐπείγει, ἐν ἄλλῳ γῆραϲ ἱκάνει et Ψ 623 ἐπείγει: γράφεται καὶ ὀπάζει καὶ ἱκάνει (καὶ ἔπειϲι add. 2. man.). — 329 οὕτωϲ ἀρίϲταρχοϲ ἰακῶϲ ἑϲτήκει Didymus.

ἕϲταϲαν· οὐ γάρ πώ ϲφιν ἀκούετο λαὸϲ ἀυτῆϲ,
ἀλλὰ νέον ϲυνορινόμεναι κίνυντο φάλαγγεϲ
Τρώων ἱπποδάμων καὶ Ἀχαιῶν· οἳ δὲ μένοντεϲ
ἕϲταϲαν, ὁππότε πύργοϲ Ἀχαιῶν ἄλλοϲ ἐπελθὼν
Τρώων ὁρμήϲειε καὶ ἄρξειαν πολέμοιο.
τοὺϲ δὲ ἰδὼν νείκεϲϲεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
καί ϲφεαϲ φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ὦ υἱὲ Πετεῶο, διοτρεφέοϲ βαϲιλῆοϲ,
καὶ ϲύ, κακοῖϲι δόλοιϲι κεκαϲμένε, κερδαλεόφρον,
τίπτε καταπτώϲϲοντεϲ ἀφέϲτατε, μίμνετε δ᾽ ἄλλουϲ;
ϲφῶιν μέν τ᾽ ἐπέοικε μετὰ πρώτοιϲιν ἐόνταϲ
ἑϲτάμεν ἠδὲ μάχηϲ καυϲτείρηϲ ἀντιβολῆϲαι.
πρώτω γὰρ καὶ δαιτὸϲ ἀκουάζεϲθον ἐμεῖο,
ὁππότε δαῖτα γέρουϲιν ἐφοπλίζωμεν Ἀχαιοί.
ἔνθα φίλ᾽ ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα
οἴνου πινέμεναι μελιηδέοϲ, ὄφρ᾽ ἐθέλητον·
νῦν δὲ φίλωϲ χ᾽ ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
ὑμείων προπάροιθε μαχοίατο νηλέι χαλκῷ.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προϲέφη πολύμητιϲ Ὀδυϲϲεύϲ·
Ἀτρείδη, ποῖόν ϲε ἔποϲ φύγεν ἕρκοϲ ὀδόντων.
πῶϲ δὴ φῂϲ πολέμοιο μεθιέμεν, ὁππότ᾽ Ἀχαιοὶ

---

V. l. 331 ἕϲταϲαν DGLO. ἑϲταϲαν A. οὐδέ πω G. γάρ πω HLN. — 332 νέων M. κινοῦντο Vrat. b. — 333 τρῴων GL. plerique τρώων θ᾽: θ᾽ omittunt DHL Townl. οἱ M. — 334 ἕϲταϲαν GLO. ἕϲταν D. πῦργοϲ HLN. — 335 τρῴων GL. ἄρξειεν Vrat. b. — 336 τούϲδε G. νείκεϲεν H. νείκηϲεν N. — 337 καὶ ϲφέαϲ DLO. — 338 διοτροφέοϲ H. — 339 κερδαλεόφρων N. — 341 ϲφῶϊ Vrat. b. Schol. Є 2. Apoll. Lex. 147, 14. — 342 καϋϲτείρηϲ AH. καϋϲτήρηϲ D. — 343 πρῶτοι E. ἐμοῖο GLS. — 344 ἐφοπλίζωμεν A. ἐφοπλίζῳμεν (οι supra ω) H. ἐφοπλίζομεν L: ἐφοπλίζοιμεν CDE bis GMNOS. — 345 ἔδμεναι: ἔμμεναι L. — 347 ὁρόῳτε C, ceteri ὁρόωτε. ὁρόωτε ἐὰν δέκα G. πῦργοι M. — 349 ἆρ DGHM. — 350 φῦγεν DM. ἔρκοϲ D. — 351 φῄϲ ACEN. φῂϲ GHLMO. φῆϲ D Cram. Epim. 433, 2. μεθειέμεν AN Townl.

---

A. c. 333 ἀρίϲταρχοϲ χωρὶϲ τοῦ θ̅ τρώων ἱπποδάμων· τὸ δὲ ἀχαιῶν ἄμεινον ἀκούειν ἐπαχαιούϲ Didymus. — 334, 335 Aristarchus πύργοϲ Ἀχαιῶν....ἄρξειαν: ἐν τῇ πολυϲτίχῳ „κέν τιϲ ἐναντίον.... ἄρξειεν“. — 339 κερδαλεόφρον: φαίδιμ᾽ Ὀδυϲϲεῦ Zenodotus. — 343 ἐμεῖο, conf. Apoll. de Pron. 137 B; 138 A; de Synt. 164, 17; 165, 7. — 344 ἐφοπλίζοιμεν defendit G. Hermann. Opusc. II, 38. — 345, 346 ἐν μὲν τοῖϲ ὑπομνήμαϲιν οὐκ ἀθετοῦνται, ἐπαιτιῶνται δὲ αὐτοὺϲ οἱ ἡμέτεροι ὡϲ ἀπρεπεῖϲ Schol. A. — 346 μελιήδέοϲ Herodianus, cf. H. T. 418. — 351 φῄϲ conf. Herod. ad P 174. Cram. Epim. 432, 25. Cram. An. Ox. IV, 354, 20. Eust. 1578, 18. Zonar. Lex. 1805. H. T. 374.

Τρωϲὶν ἐφ᾽ ἱπποδάμοιϲιν ἐγείρομεν ὀξὺν ἄρηα;
ὄψεαι, ἢν ἐθέληϲθα, καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
Τηλεμάχοιο φίλον πατέρα προμάχοιϲι μιγέντα
Τρώων ἱπποδάμων· ϲὺ δὲ ταῦτ᾽ ἀνεμώλια βάζειϲ.
τὸν δ᾽ ἐπιμειδήϲαϲ προϲέφη κρείων Ἀγαμέμνων,
ὡϲ γνῶ χωομένοιο· πάλιν δ᾽ ὅ γε λάζετο μῦθον·
διογενὲϲ Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυϲϲεῦ,
οὔτέ ϲε νεικείω περιώϲιον οὔτε κελεύω·
οἶδα γὰρ ὥϲ τοι θυμὸϲ ἐνὶ ϲτήθεϲϲι φίλοιϲιν
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέειϲ, ἅ τ᾽ ἐγώ περ.
ἀλλ᾽ ἴθι ταῦτα δ᾽ ὄπιϲθεν ἀρεϲϲόμεθ᾽, εἴ τι κακὸν νῦν
εἴρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν.
ὣϲ εἰπὼν τοὺϲ μὲν λίπεν αὐτοῦ, βῆ δὲ μετ᾽ ἄλλουϲ.
εὗρε δὲ Τυδέοϲ υἱόν, ὑπέρθυμον Διομήδεα,
ἑϲταότ᾽ ἔν θ᾽ ἵπποιϲι καὶ ἅρμαϲι κολλητοῖϲι·
πὰρ δέ οἱ ἑϲτήκει Ϲθένελοϲ, Καπανήιοϲ υἱόϲ.
καὶ τὸν μὲν νείκεϲϲεν ἰδὼν κρείων Ἀγαμέμνων,
καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
ὤ μοι, Τυδέοϲ υἱὲ δαΐφρονοϲ, ἱπποδάμοιο,
τί πτώϲϲειϲ, τί δ᾽ ὀπιπεύειϲ πολέμοιο γεφύραϲ;
οὐ μὲν Τυδέι γ᾽ ὧδε φίλον πτωϲκαζέμεν ἦεν,
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηίοιϲι μάχεϲθαι,
ὡϲ φάϲαν οἵ μιν ἴδοντο πονεύμενον· οὐ γὰρ ἐγώ γε
ἤντηϲ᾽ οὐδὲ ἴδον· περὶ δ᾽ ἄλλων φαϲὶ γενέϲθαι.
ἦ τοι μὲν γὰρ ἄτερ πολέμου εἰϲῆλθε Μυκήναϲ

V. L. 352 τρωϲὶν GL. — 353 ἥν κ᾽ ἐθέληιϲθα A. μεμήλει N. — 354 τηλεμάχου CG Lips. — 355 τρώων GL. τρώων θ᾽ Lips. — 357 μύθῳ Vrat. a. — 359 οὔτέ ϲε ACDH. οὔτε ϲὲ G. οὔτι ϲε M. νεικίω D. οὐδὲ κελεύω L. οὔτι κελεύω N. — 360 φίλοιϲι M. — 361 μήδεα οἶδε H. — 363 μεταμώνια AE 483, 5 GN Eton.: μεταμώλια CDE 480, 21; 483, 8 HLMOS. — 365 δὲ διὸϲ υἱὸν L. — 366 ἑϲταότ᾽ D. θ᾽ omitt. G. κολλητοῖϲι ACDHMO. κολλωτοῖϲι Vrat. b. κολλοτοῖϲι Lips. — 367 παρ D. ἑϲτήκει AGH: εἱϲτήκει CDLMNOS. — 368 καὶ μὲν τὸν MS. νείκεϲεν DG. — 369 habet A in margine. προϲηῦδα D. — 370 ὤμοι ACG. ὦμοι D. — 371 ὀπιπεύειϲ ACDN Lips.: ὀπιπτεύειϲ EGHLMOS Et. Mg. 627, 55. Plutarchus de Se ipsum citra invid. laud. 4. — 372 πτωκαζέμεν EGLM. — 373 προ AL. — 374 ὧϲ EM. — 375 ἶδον D. πέρι GL.

A. c. 367 οὕτωϲ ἑϲτήκει ἰακῶϲ ἀρίϲταρχοϲ Didymus. — 370 ὤμοι, conf. H. U. 188. — 371 ὀπιπεύειϲ, non ὀπιπτεύειϲ scribendum esse confirmant libri optimi hic et H 243 et τ 67, et quod semel apud Homerum legitur (Λ 385) παρθενοπῖπα.

ξεῖνος ἅμ᾽ ἀντιθέῳ Πολυνείκεϊ, λαὸν ἀγείρων.
οἳ δὲ τότ᾽ ἐστρατόωνθ᾽ ἱερὰ πρὸς τείχεα Θήβης,
καί ῥα μάλα λίσσοντο δόμεν κλειτοὺς ἐπικούρους·
οἳ δ᾽ ἔθελον δόμεναι καὶ ἐπῄνεον, ὡς ἐκέλευον·
ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων.
οἳ δ᾽ ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο,
Ἀσωπὸν δ᾽ ἵκοντο βαθύσχοινον λεχεποίην,
ἔνθ᾽ αὖτ᾽ ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί.
αὐτὰρ ὁ βῆ, πολέας δὲ κιχήσατο Καδμείωνας
δαινυμένους κατὰ δῶμα βίης Ἐτεοκληείης.
ἔνθ᾽ οὐδὲ ξεῖνός περ ἐὼν ἱππηλάτα Τυδεὺς
τάρβει, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισιν,
ἀλλ᾽ ὅ γ᾽ ἀεθλεύειν προκαλίζετο, πάντα δ᾽ ἐνίκα
ῥηιδίως· τοίη οἱ ἐπίρροθος ἦεν Ἀθήνη.
οἳ δὲ χολωσάμενοι Καδμεῖοι, κέντορες ἵππων,
ἂψ ἀναερχομένῳ πυκινὸν λόχον εἷσαν ἄγοντες,
κούρους πεντήκοντα· δύω δ᾽ ἡγήτορες ἦσαν,
Μαίων Αἱμονίδης, ἐπιείκελος ἀθανάτοισιν,

---

V. l. 378 οἵ ῥα: οἱ δὲ ALO. οἳ ῥὰ DM. τότε στρατόωνθ᾽ S. τότε στρατόωντο Townl. — 379 λίσοντο δόμεναι D. — 380 οἳ δ᾽ D. οἵδ᾽ CGLMNO. δοῦναι E. — 381 παραίσιμα N. — 382 οἳ δ᾽ DL. οἵδ᾽ CHMN. ᾤχοντο ἰδὲ ACEGHLMNO. ᾤχοντο ἠδὲ DS. πρὸς ὁδοῦ L. — 383 ἀσσωπόν C. ἀσωπόν θ᾽ Barocc. — 384 ἔνθ᾽ αὖ Apoll. Lex. 7, 12. ἀγγελείην D. ἐπὶ ACDEGHLMNOS Apoll. Lex. 7, 12. Et. Mg. 670, 8. Eust. 610, 43: ἔπι Schol. O 339. Eust. 1018, 65. τυδῆ AC 1. man. EHMNO. τυδη$^{εῖ\ η}$ S. τυδεῖ L: τυδεῖ C 2. man. DG Mor. Cant. Vrat. a. c. στεῖλαν G. — 385 ὃ CDGHLMNO. δ᾽ ἐκιχήσατο L. — 386 δαιννυμένους G. ἐτεοκλείης DGM. — 388 πολέσϊ GH. μετα A. καδμείωσιν EN. — 392 ἂψ ἀναερχομένῳ AHNO Townl. Harl. Vrat. a ex coni. ἂψ ἀνερχομένῳ CD EGLMS Mor. Cant. Lips. Vrat. b. c. A. Mosc. 1. 3. λόχον ἦσαν D. λ$^{ο}$έχος N. — 393 δύο E.

---

A. c. 382 ᾤχοντο ἰδέ, quod omnes fere libri exhibent, recentiores quidam hiatus causa mutaverunt in ᾤχοντ᾽ ἠδέ, perperam, conf. B 697, Δ 147, Z 479, Θ 162, K 573, M 311, Φ 351, X 469, δ 604, λ 337, ς 249, ψ 289. — 384 ἐπὶ Aristarchus, non ἔπι, conf. H. T. 176. Τυδῆ, conf. Μηκιστῆ O 339 et Schol. ad h. l. — 390 ὁ ἀστερίσκος conf. E 808. — 392 recentiores aut ἂψ ἄρ᾽ ἀνερχομένῳ ut Z 187, aut ἂψ ἀνερχομένῳ aut ἄψ οἱ ἀνερχομένῳ scripserunt, sed nulla hoc loco opus est coniectura; nam ἀναερχομένῳ non magis offendit quam ἀποαίρεο A 230, 275; ἀποαίνυμαι N 262, κ 322, μ 419, ξ 309; καταείσατο Λ 358; ἐπιείσομαι Λ 367, Υ 454; ἐπιεισαμένη Φ 424; ἐπιόψομαι I 167, β 294; ἐπιοσσομένω P 381; ἐπιάλμενος H 15, ω 320.

υἱός τ' Αὐτοφόνοιο, μενεπτόλεμος Πολυφόντης.
Τυδεὺς μὲν καὶ τοῖσιν ἀεικέα πότμον ἐφῆκε·
πάντας ἔπεφν', ἕνα δ' οἶον ἵει οἶκον δὲ νέεσθαι·
Μαίον' ἄρα προέηκε θεῶν τεράεσσι πιθήσας.
τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱὸν
γείνατο εἷο χέρεια μάχῃ, ἀγορῇ δέ τ' ἀμείνω.
ὣς φάτο, τὸν δ' οὔ τι προσέφη κρατερὸς Διομήδης
αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο.
τὸν δ' υἱὸς Καπανῆος ἀμείψατο κυδαλίμοιο·
Ἀτρείδη, μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.
ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι·
ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο
παυρότερον λαὸν ἀγαγόνθ' ὑπὸ τεῖχος ἄρειον,
πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·
κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.
τῷ μή μοι πατέρας ποθ' ὁμοίῃ ἔνθεο τιμῇ.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ὀτρύνοντι μάχεσθαι ἐϋκνήμιδας Ἀχαιούς·
τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ
Τρῶας δῃώσωσιν ἕλωσί τε Ἴλιον ἱρήν,

---

V. L. 395 πολυφόντης A: λυκοφόντης CDEHLMNOS. λυκοφάντης G. γρ. λυκοφόντης A. — 396 ἐφῆκε A. ἐφῆκε GHMO. ἐνεῖκε C. — 397 πάντας δ' G. οἶκον δὲ A. οἶκονδε CDGHLNO. οἴκονδε M. οἰκόνδε E. — 398 μαίων' ἄρα G. μαίονα ῥὰ NS. μαιόνά ῥα Cant. — 400 χέρεια AC 1. man. DLOS Schol. A 80. Cram. Epim. 338, 13; 350, 22. Et. Mg. 809, 2. Et. Or. 166, 13: χέρηα C 2. man. GMN Lips. 1. man. Vrat. A. Cram. An. Par. III, 375, 6. χέρια (η supra) Vrat. a. χέρηα E bis H. ἀμείνων A, ceteri ἀμείνω. — 401 ὡς A. φᾶτο D. — 402 βασιλέως CE. αἰδίοιο D. — 403 omitt. Eton. — 404 ψεύδε'ο A. ψεύδε'α G. ψεύδεο E 482, 19. — 409 σφετέραισιν ἀτασθαλίαισιν ὤλοντο G. — 410 τῶ ACDGHLMO: τῷ EN. πόθ' CM. ἔνθεο A. — 411 ἂρ ADGHMO. — 412 τέτγα A. σιγῇ ἧσο N. ἧσο D. — 413 ἐγὼν M. — 414 εὐκνήμιδας DGO. — 415 μὲν omitt. M. γὰρ omitt. CG Lips. εἴ κεν: αἴ κεν NS Cant. εἰ μὲν G. — 416 τρῷας GL. δηϊώσωσιν LNO. δηϊόωσιν M. δηώσουσιν D. δῃώσουσιν Vrat. A. δηιώσουσιν E. ἕλωσι δε L. Τρώων ἐκπέρσως' εὖ ναιόμενον πτολίεθρον Schol. A 407.

---

A. c. 400 χέρεια, conf. H. T. 379. H. U. 157. ἀμείνω: ἀμείνων Aristarchus. — 404 ψεύδε': Ἡρωδιανὸς τὸ ἐντελὲς ψεύδεό φησιν Schol. V. — 410 τῶ Herodianus: τὼ Apollonius, conf. H. T. 368. ἔνθεο Aristarchus: ἐν θέο Apollonius.

τούτῳ δ᾽ αὖ μέγα πένθος Ἀχαιῶν δηωθέντων.
ἀλλ᾽ ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδος ἀλκῆς.
ἦ ῥα, καὶ ἐξ ὀχέων ϲὺν τεύχεϲιν ἆλτο χαμᾶζε·
δεινὸν δ᾽ ἔβραχε χαλκὸς ἐπὶ ϲτήθεϲϲιν ἄνακτος
ὀρνυμένου· ὑπό κεν ταλαϲίφρονά περ δέος εἷλεν.
ὡς δ᾽ ὅτ᾽ ἐν αἰγιαλῷ πολυηχέι κῦμα θαλάϲϲης
ὄρνυτ᾽ ἐπαϲϲύτερον Ζεφύρου ὕπο κινήϲαντος·
πόντῳ μέν τε πρῶτα κορύϲϲεται, αὐτὰρ ἔπειτα
χέρϲῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ᾽ ἄκρας
κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ᾽ ἁλὸς ἄχνην·
ὣς τότ᾽ ἐπαϲϲύτεραι Δαναῶν κίνυντο φάλαγγες
νωλεμέως πόλεμον δέ. κέλευε δὲ οἷϲιν ἕκαϲτος
ἡγεμόνων· οἱ δ᾽ ἄλλοι ἀκὴν ἴϲαν, οὐδέ κε φαίης
τόϲϲον λαὸν ἕπεϲθαι ἔχοντ᾽ ἐν ϲτήθεϲιν αὐδήν,
ϲιγῇ δειδιότες ϲημάντορας· ἀμφὶ δὲ πᾶϲι
τεύχεα ποικίλ᾽ ἔλαμπε, τὰ εἱμένοι ἐϲτιχόωντο.
Τρῶες δ᾽, ὥς τ᾽ ὄιες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑϲτήκαϲιν ἀμελγόμεναι γάλα λευκόν,

V. L. 417 δηϊωθέντων CDNO Schol. Θ 236. δηιωθέντων AE. — 418 ἀλλά γε AMS. — 419 ῥὰ CDGHLMNO. ἆλτο: ἅλτο S. ἅλτο CH. χαμᾶζε AEHL: χαμάζε CDGMNO. — 420 ϲτήθεϲιν M. — 422 πολυηχέϊ A. — 423 ὕπο: ὑπὸ A. ὑποκινήϲαντος CDEGHLMNOS Vrat. b. c. Schol. Η 64, Λ 269. — 424 μέν τε AL Vrat. c. μέν τοι M. μὲν τὰ CDEHNO Et. Mg. 531, 17. Et. Gud. 339, 19. μὲν ταπρῶτα S. ταπρῶτα G. — 427 ὡς A. ἐπαϲϲύτερον G. ἐπ᾽ ἀϲϲύτεροι N. κίνυντο: ὤρνυντο O. — 428 πόλεμον δέ A. κέλευϲε N. πόλεμόν δ᾽ ἐκέλευεν οἷϲιν H. — 429 ἦϲαν D 1. man., nunc ἴϲαν ut M. — 430 ἕπεϲθαι L. ἐν: ἐνὶ LM. — 431 δεδιότες H. πᾶϲι CDGHLMNO. — 433 τρῷες GL. πολυπάμονος A. πολυπάμονος Schol. Γ 2, Ε 137: πολυπάμμονος CDEGHLMNOS Et. Mg. 681, 48 Et. Gud. 490, 13. Heraclides Alleg. C. 30. Schol. Pind. Pyth. VIII, 103. ἐναυλῇ G. — 434 ἐϲτήκαϲιν D. ἑϲτήκωϲιν NS Vrat. b. ἑϲτήκαϲι: γρ. ἑϲτήκωϲι O.

A. c. 423 ὕπο Ptolemaeus Aristonici, Nicias, Tyrannio: ceteri ὑποκινήϲαντος. — 424 τὰ πρῶτα, quod vulgo scribunt, ferendum non est, conf. Α 6, Ζ 489, Μ 420, Ν 679, Ρ 612, Ψ 523, θ 268, 553, quibus locis significat „primum“ (das erstemal, einmal). ubi sequitur ἔπειτα vel δεύτερον, non nisi πρῶτον aut πρῶτα est in usu, conf. Γ 330, Δ 442, Κ 344, Λ 17, 244, 301, Π 131, 495, 532, 694, Τ 369, κ 519, λ 27, 640, χ 448. At frequens est usus particulae τε in comparationibus, sicut Δ 442 ἥ τ᾽ ὀλίγη μὲν πρῶτα κορύϲϲεται αὐτὰρ ἔπειτα, qui locus nostro est simillimus. conf. porro Β 145, 456, 463, 470, 481, Γ 25, 33, Δ 483, 485, 487, Ε 88, 89, 137, 138, 139, 141. — 426 ἐὸν: ἀρίϲταρχος διὰ τοῦ ῑ ἰόν Didymus. — 434 magnopere arridet scriptura ἑϲτήκωϲιν, cuius coniunctivi in comparationibus adhibiti exempla contuli ad vs. 483.

ἀζηχὲc μεμακυῖαι, ἀκούουcαι ὄπα ἀρνῶν,
ὣc Τρώων ἀλαλητὸc ἀνὰ cτρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸc θρόοc οὐδ᾽ ἴα γῆρυc,
ἀλλὰ γλῶcc᾽ ἐμέμικτο, πολύκλητοι δ᾽ ἔcαν ἄνδρεc.
ὦρcε δὲ τοὺc μὲν Ἄρηc, τοὺc δὲ γλαυκῶπιc Ἀθήνη
Δεῖμόc τ᾽ ἠδὲ Φόβοc καὶ Ἔριc ἄμοτον μεμαυῖα,
Ἄρεοc ἀνδροφόνοιο καcιγνήτη ἑτάρη τε,
ἥ τ᾽ ὀλίγη μὲν πρῶτα κορύccεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐcτήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.
ἥ cφιν καὶ τότε νεῖκοc ὁμοίιον ἔμβαλε μήccῳ
ἐρχομένη καθ᾽ ὅμιλον, ὀφέλλουcα cτόνον ἀνδρῶν.
οἳ δ᾽ ὅτε δή ῥ᾽ ἐc χῶρον ἕνα ξυνιόντεc ἵκοντο,
cύν ῥ᾽ ἔβαλον ῥινούc, cὺν δ᾽ ἔγχεα καὶ μένε᾽ ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀcπίδεc ὀμφαλόεccαι
ἔπληντ᾽ ἀλλήληcι, πολὺc δ᾽ ὀρυμαγδὸc ὀρώρει.
ἔνθα δ᾽ ἅμ᾽ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ᾽ αἵματι γαῖα.
ὡc δ᾽ ὅτε χείμαῤῥοι ποταμοὶ κατ᾽ ὄρεcφι ῥέοντεc
ἐc μιcγάγκειαν cυμβάλλετον ὄβριμον ὕδωρ
κρουνῶν ἐκ μεγάλων, κοίληc ἔντοcθε χαράδρηc·
τῶν δέ τε τηλόcε δοῦπον ἐν οὔρεcιν ἔκλυε ποιμήν·

V. L. 435 ἀκούουcαι ACDEGHLMNOS Cant. Harl. Eton. Vrat. a. b. c. A. Schol. Є 137. Apoll. Lex. 11, 32. Et. Gud. 431, 26; 584, 27; 601, 8. in Aldina I. et Romana expressum est ἀκούcαcαι. — 436 τρῴων L. ἀνα G. — 438 γλῶcca ἐμέμικτο G. γλῶcca μέμικτο Vrat. b. γλῶccαι
η
μεμικτο L. πολύκλιτοι D. — 441 omitt. Townl. — 442 κολύccεται E 495, 16. — 443 κάρην G. — 444 cφι G. μέcω M. μέcῳ G 1. man. μέccον D. μέcον Eust. 477, 1. — 445 ὀφελοῦcα Lips. — 446 οἳ δ᾽ DL. οἵδ᾽ CMNO. ἵκοντο: ἵκανον O. — 447 cὺν δ᾽ ἔβαλον Et. Mg. 704, 26. Euseb. Praep. Ev. XIV, 6, 7. ῥηνοὺc N. ῥινούc τε καὶ ἀcπίδαc ὀμφαλοέccαc Aristoph. Pac. 1274. — 448 χαλκεοθωρήκων ACG. αὐτὰρ DL. — 449 ἔπληντο ἀλλήλαιcι G. ἀλλήλοιcι CDN Vrat. a. b. ὀρυγμαδὸc CDEGHM. — 450 ἐνθάδ᾽ ἅμ᾽ O. ἔνθα δ᾽ ἄρ Max. Tyr. Diss. XXXVI, 4. ἔνθ᾽ ἅμα GL Rhet. Gr. III, 40, 15. ἔνθ᾽ ἅμ᾽ DN. — 451 ὀλλύντων τὲ ACO. ὀλλύντων γε M. τε omitt. H. — 452 χείμαροι O. ῥέοντε C. — 453 μιcγάγγειαν DGLN. cυμβάλετον DGMNO 1. man. ὄμβριμον CGHLMNO ex corr. Mor. Vrat. a. Mosc. 3. Schol. Eurip. Orest. 325. Dionysius de Comp. verb. XVI.

A. c. 447 cύν ῥ᾽ ἔβαλον laudat Aristonicus ad 448. — 452 χείμαῤῥοι Nicias: χειμάῤῥοι Ptolemaeus Ascalonita et Herodianus, conf. Eust. 496, 35.

ὣς τῶν μιςγομένων γένετο ἰαχή τε πόνος τε.
πρῶτος δ' Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυςτὴν
ἐςθλὸν ἐνὶ προμάχοιςι, Θαλυςιάδην Ἐχέπωλον·
τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδαςείης,
ἐν δὲ μετώπῳ πῆξε, πέρηςε δ' ἄρ' ὀςτέον εἴςω
αἰχμὴ χαλκείη· τὸν δὲ ςκότος ὄςςε κάλυψεν,
ἤριπε δ' ὡς ὅτε πύργος ἐνὶ κρατερῇ ὑςμίνῃ.
τὸν δὲ πεςόντα ποδῶν ἔλαβε κρείων Ἐλεφήνωρ
Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων·
ἕλκε δ' ὑπ' ἐκ βελέων, λελιημένος ὄφρα τάχιςτα
τεύχεα ςυλήςειε· μίνυνθα δέ οἱ γένεθ' ὁρμή.
νεκρὸν γάρ ῥ' ἐρύοντα ἰδὼν μεγάθυμος Ἀγήνωρ
πλευρά, τά οἱ κύψαντι παρ' ἀςπίδος ἐξεφαάνθη,
οὔτηςε ξυςτῷ χαλκήρεϊ, λῦςε δὲ γυῖα.
ὣς τὸν μὲν λίπε θυμός, ἐπ' αὐτῷ δ' ἔργον ἐτύχθη
ἀργαλέον Τρώων καὶ Ἀχαιῶν· οἳ δὲ λύκοι ὣς
ἀλλήλοις ἐπόρουςαν, ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν.
ἔνθ' ἔβαλ' Ἀνθεμίωνος υἱὸν Τελαμώνιος Αἴας,
ἠίθεον θαλερόν, Σιμοείςιον, ὅν ποτε μήτηρ
Ἴδηθεν κατιοῦςα παρ' ὄχθηςιν Σιμόεντος
γείνατ', ἐπεί ῥα τοκεῦςιν ἅμ' ἕςπετο μῆλα ἰδέςθαι.
τοὔνεκά μιν κάλεον Σιμοείςιον· οὐδὲ τοκεῦςι
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν

V. L. 456 ὡς A. γένετ' CHLOS. γίνετ' M. πόνος LO: φόβος ACDE bis GHMNS. — 457 τρώων GL. — 458 θαλαςςιάδην S. — 459 ἔβαλεν CHS. — 460 ἆρ DEGLM. ἀρ A. — 461 τόνδε G. τὸν δὴ M. ὄςς' ἐκάλυψεν DHLMO. — 462 πῦργος HLM. — 463 ἔλαβε: εἷλε S Cant. ἐλεφείνωρ L. — 465 ὑπ' ἐκ ACDGHLMNO. — 467 γάρ ῥ': γὰρ CGLNO Harl. Lips. Townl. Eton. γὰρ ἕλκοντα D. — 468 πλευρᾶ D. — 469 οὔτιςε G. ξυςτῷ: χαλκῷ Cant. δὲ omitt. H. — 470 ὡς A. — 471 τρώων GL. καὶ δαναῶν L. οἳ δὲ C. — 472 ἐδνοπάλιξεν Vrat. a. Apoll. Lex. 59, 22. ἐδνοπάλιξε Zonar. Lex. 557. — 473 ἀνθεμίονος D. — 475 ὄχθηςι EHLM. ὄχθαιςι G. — 476 ἐπεὶ ῥὰ GLMO. — 477 τοκεῦςι ADEGHMO. — 478 θρέπτα E ter LOS Vrat. b. c. Mosc. 3.

A. c. 456 ἀρίςταρχος ἰαχή τε πόνος τε. οὐ γὰρ γέγονέ πω φυγή Didymus. — 467 particula ῥα neque in caesura semiternaria neque ante ἐρύοντα, quod olim a digammo inchoabat, est necessaria, conf. Δ 506, Ν 598, Ξ 79, Ο 351, 354, Ρ 161, 235, 277, 287, 317, 419. quum autem Δ 492 omnes libri in scriptura ἑτέρως' ἐρύοντα consentiant, vulgatam retinui. vid. Ξ 30, Ρ 403, ε 321, κ 242, φ 32, Annal. Gymn. Austr. 1871, pg. 506. — 478 Aristarchus θρέπτρα: θρεπτά Zenodotus, conf. H. T. 283.

ἔπλεθ᾽ ὑπ᾽ Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
πρῶτον γάρ μιν ἰόντα βάλε στῆθος παρὰ μαζὸν
δεξιόν· ἀντικρὺ δὲ δι᾽ ὤμου χάλκεον ἔγχος
ἦλθεν· ὁ δ᾽ ἐν κονίῃσι χαμαὶ πέσεν αἴγειρος ὥς,
ἥ ῥά τ᾽ ἐν εἱαμενῇ ἕλεος μεγάλοιο πεφύκῃ
λείη, ἀτάρ τέ οἱ ὄζοι ἐπ᾽ ἀκροτάτῃ πεφύασι·
τὴν μέν θ᾽ ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ
ἐξέταμ᾽, ὄφρα ἴτυν κάμψῃ περικαλλέι δίφρῳ·
ἡ μέν τ᾽ ἀζομένη κεῖται ποταμοῖο παρ᾽ ὄχθας.
τοῖον ἄρ᾽ Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξεν
Αἴας διογενής. τοῦ δ᾽ Ἄντιφος αἰολοθώρηξ
Πριαμίδης καθ᾽ ὅμιλον ἀκόντισεν ὀξέι δουρί.
τοῦ μὲν ἅμαρθ᾽, ὁ δὲ Λεῦκον, Ὀδυσσέος ἐσθλὸν ἑταῖρον,
βεβλήκει βουβῶνα νέκυν ἑτέρωσ᾽ ἐρύοντα·
ἤριπε δ᾽ ἀμφ᾽ αὐτῷ, νεκρὸς δέ οἱ ἔκπεσε χειρός.
τοῦ δ᾽ Ὀδυσεὺς μάλα θυμὸν ἀποκταμένοιο χολώθη,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
στῆ δὲ μάλ᾽ ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ

V. l. 482 ὅδ᾽ CGLMNO. — 483 εἱαμενεῖ (η) L. ἕλεος AD. πεφύκῃ: πεφύκει ACDEGHLMO. — 484 λεί̣η L. αὐτὰρ M. ἐπακροτάτη M. πεφύασι ACHMNO. πεφύκασι G. — 485 ἁρματοπηγὸς A. αἴθονι D. — 486 ὄφρ᾽ DG Apoll. Lex. 93, 14. περικαλλέϊ E. — 487 μὲν ἀζομένη E. ποταμοῦ παρὰ G. — 488 ἄρ ADGLM. — 489 τοῦ: τὸν Vrat. a. αἰολοθώρηξ A. — 490 καθόμιλον D. ὀξέϊ χαλκῶ D. ἐν ἄλλῳ ἀκόντισε δουρὶ φαεινῶι A. — 491 ἅμαρθ᾽ D. ὀδυσσέως DM. ὀδυσέος O. — 493 αὐτῷ: αὐτὸν N. ἔκπεσε: γρ. ἔκφυγε O. ἔκπεσε χειρός, ἢ καὶ ἄλλως κατά τινα τῶν ἀντιγράφων ἔκφυγε χειρός Eust. 499, 37. — 494 ὀδυσσεὺς DGHMO. — 496 ἰών: ἐὼν lemma Schol. BL.

A. c. 483 πεφύκῃ: ita G. Hermann. Opusc. II, 44 ex coniectura, nam indicativus plusquamperfecti, quem libri consensu tuentur, in comparationibus prorsus est inauditus, quamobrem aut πέφυκεν aut πεφύκῃ est scribendum. coniunctivum ut praeferrem, motus sum locis similibus, quibus indocti librarii coniunctivum perfecti in indicativum plusquamperfecti mutaverunt, decepti simili pronuntiatione sonorum ει et ῃ, qui sexcenties permutantur. exempla sunt haec: Ρ 435 ὥς τε στήλη μένει ἔμπεδον, ἥ τ᾽ ἐπὶ τύμβῳ ἀνέρος ἑστήκει ADHLS; εἱστήκει CEG. χ 469 ἕρκει ἐνιπλήξωσι, τό θ᾽ ἑστήκει ἐνὶ θάμνῳ ACEFGIK LNPQRSV. εἱστήκει H ex em. Π 633 ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρει, ita omnes. Λ 477 ὄφρ᾽ αἷμα λιαρὸν καὶ γούνατ᾽ ὀρώρει D. σ 133 ὄφρ᾽ ἀρετὴν παρέχωσι θεοὶ καὶ γούνατ᾽ ὀρώρει AN et CKS 1. man. α 316 δῶρον δ᾽ ὅττί κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγει ABDH KLMPQV. δ 400 ἦμος δ᾽ ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει ABD 1. man. EFGHIKLM 1. man. NPRSV. ἀμφιβεβήκοι D 2. man. M 2 man.

ἀμφὶ ἓ παπτήναϲ. ὑπὸ δὲ Τρῶεϲ κεκάδοντο
ἀνδρὸϲ ἀκοντίϲϲαντοϲ. ὃ δ᾽ οὐχ ἅλιον βέλοϲ ἧκεν,
ἀλλ᾽ υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα,
ὅϲ οἱ Ἀβυδόθεν ἦλθε παρ᾽ ἵππων ὠκειάων.
τόν ῥ᾽ Ὀδυϲεὺϲ ἑτάροιο χολωϲάμενοϲ βάλε δουρὶ
κόρϲην· ἣ δ᾽ ἑτέροιο διὰ κροτάφοιο πέρηϲεν
αἰχμὴ χαλκείη· τὸν δὲ ϲκότοϲ ὄϲϲε κάλυψε.
δούπηϲεν δὲ πεϲών, ἀράβηϲε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
χώρηϲαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμοϲ Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύϲαντο δὲ νεκρούϲ,
ἴθυϲαν δὲ πολὺ προτέρω. νεμέϲηϲε δ᾽ Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεϲϲι δὲ κέκλετ᾽ ἀΰϲαϲ·
ὄρνυϲθ᾽ ἱππόδαμοι Τρῶεϲ, μὴ δ᾽ εἴκετε χάρμηϲ
Ἀργείοιϲ, ἐπεὶ οὔ ϲφι λίθοϲ χρὼϲ οὐδὲ ϲίδηροϲ
χαλκὸν ἀναϲχέϲθαι ταμεϲίχροα βαλλομένοιϲιν.
οὐ μὰν οὐδ᾽ Ἀχιλεύϲ, Θέτιδοϲ πάιϲ ἠυκόμοιο,
μάρναται, ἀλλ᾽ ἐπὶ νηυϲὶ χόλον θυμαλγέα πέϲϲει.
ὣϲ φάτ᾽ ἀπὸ πτόλιοϲ δεινὸϲ θεόϲ· αὐτὰρ Ἀχαιοὺϲ
ὦρϲε Διὸϲ θυγάτηρ κυδίϲτη τριτογένεια,
ἐρχομένη καθ᾽ ὅμιλον, ὅθι μεθιένταϲ ἴδοιτο.
ἔνθ᾽ Ἀμαρυγκείδην Διώρεα μοῖρα πέδηϲε.
χερμαδίῳ γὰρ βλῆτο παρὰ ϲφυρὸν ὀκριόεντι
κνήμην δεξιτερήν· βάλε δὲ Θρῃκῶν ἀγὸϲ ἀνδρῶν,

---

V. l. 497 ἀμφί ἕ O. παπτῆναϲ C. ὑπο A. τρῷεϲ GL. — 498 ἀκοντίϲαντοϲ CDEGHM Lips. Schol. α 1. ὅδ᾽ CDGHLMNO. ἄλιον D. — 499 βᾶλε D. — 501 in O man. rec. insertus. τόν ῥ᾽: τὸν δ᾽ O. ὀδυϲϲεὺϲ DGHMO. — 502 κόρϲηϲ H. ἧδ᾽ D. ἥδ᾽ CLN. — 503 τόνδε G. ὄϲϲε κάλυψε ENO: ὄϲϲ᾽ ἐκάλυψε ACHMS. ὄϲϲ᾽ ἐκάλυψεν DL. ὄϲϲὲ ἐκάλυψε G. — 504 δούπηϲε H Et. Mg. 285, 10. ἐπαυτῶι A. ἐπ᾽ ὤμων M. — 506 μέγα AG: μέγ᾽ CDHLMNOS Cant. Townl. Lips. Vrat. b. c. A. Mosc. 1. 3. ἐρρύϲαντο O Vrat. c. Mosc. 1. 3. — 507 δὲ πολλοὶ M. πολλὺ N. προτέρῳ G. — 508 ἐκκατιδὼν ACDGHLMNO. ἐκ κατιδὼν E. τρῴεϲϲι GL. δὲ, κέκλετ᾽ D. δ᾽ ἐκέκλετ᾽ L. — 509 τρῷεϲ GL. μὴ δ᾽ ACDGHLMNO. — 510 ἀργείοιϲ (ων supra) O. ϲφϊν H. — 511 τὰμεϲίχροα A. — 512 μὰν: μὴν E 508, 26 G. ἀχιλλεὺϲ DGMO. πάϊϲ CS Cant.: ceteri παῖϲ. — 514 ὡϲ A. φᾶτ᾽ D. — 515 τριτογένεια A. — 516 μεθιέντεϲ M. μεθιέντα N. — 517 μοῖρα πέδηϲε: μοῖρ᾽ ἐπέδηϲε ACGHMO. ceteri μοῖρ᾽ ἐπέδηϲεν. — 518 ὀκρυόεντι CLMOS.

---

A. c. 508 ἐκκατιδὼν, conf. H 21. — 517 ἀρίϲταρχοϲ μοῖρα πέδηϲε ἰακῶϲ Didymus.

Πείροος Ἰμβραςίδης, ὃς ἄρ᾽ Αἰνόθεν εἰληλούθει·
ἀμφοτέρω δὲ τένοντε καὶ ὀςτέα λᾶας ἀναιδὴς
ἄχρις ἀπηλοίηςεν· ὃ δ᾽ ὕπτιος ἐν κονίῃςι
κάππεςεν ἄμφω χεῖρε φίλοις ἑτάροιςι πετάςςας,
θυμὸν ἀποπνείων. ὃ δ᾽ ἐπέδραμεν, ὅς ῥ᾽ ἔβαλέν περ,
Πείροος· οὖτα δὲ δουρὶ παρ᾽ ὀμφαλόν· ἐκ δ᾽ ἄρα πᾶςαι
χύντο χαμαὶ χολάδες, τὸν δὲ ςκότος ὄςςε κάλυψε.
τὸν δὲ Θόας Αἰτωλὸς ἀπεςςύμενον βάλε δουρὶ
ςτέρνον ὑπὲρ μαζοῖο, πάγη δ᾽ ἐν πνεύμονι χαλκός.
ἀγχίμολον δέ οἱ ἦλθε Θόας, ἐκ δ᾽ ὄβριμον ἔγχος
ἐςπάςατο ςτέρνοιο, ἐρύςςατο δὲ ξίφος ὀξύ,
τῷ ὅ γε γαςτέρα τύψε μέςην, ἐκ δ᾽ αἴνυτο θυμόν.
τεύχεα δ᾽ οὐκ ἀπέδυςε· περίςτηςαν γὰρ ἑταῖροι
Θρήικες ἀκρόκομοι δολίχ᾽ ἔγχεα χερςὶν ἔχοντες,
οἵ ἑ μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν
ὦςαν ἀπὸ ςφείων· ὃ δὲ χαςςάμενος πελεμίχθη.
ὣς τώ γ᾽ ἐν κονίῃςι παρ᾽ ἀλλήλοιςι τετάςθην,
ἤ τοι ὃ μὲν Θρῃκῶν, ὃ δ᾽ Ἐπειῶν χαλκοχιτώνων,
ἡγεμόνες· πολλοὶ δὲ περικτείνοντο καὶ ἄλλοι.
ἔνθά κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόςαιτο μετελθών,
ὅς τις ἔτ᾽ ἄβλητος καὶ ἀνούτατος ὀξέι χαλκῷ

---

V. l. 520 πείρως ACDGHLMOS. ἥρως Strabo VII, 351. ὃς ἄρ ADGMO. ὅς ῥ᾽ NS. — 521 λάας CDGH. — 522 ἀπηλλοίηςεν C Vrat. a. ἀπηλλοίωςεν H 1. man. L. ἀπη‖λοίωςεν H post ras. ὅδ᾽ CDGLMNO. κονίῃςι ACDEGHMO. — 522 πετάςας DEMO. — 524 ὅδ᾽ CDGHLMNO. ἔβαλέν μιν NS Cant. ἔβαλεν μὶν G. — 525 πείρως ACDGHLMS. οὗτα DHL. — 526 χῦντο D Et. Mg. 813, 21. ὅςς᾽ ἐκάλυψε(ν) ACDG ex corr. HLMNO. ὅςςε κάλυψεν S Cant. Vrat. a. — 527 τόνδε G. ἀπεςςύμενον GMO Townl. Mosc. 3: ceteri ἐπεςςύμενον. — 528 ὕπερ D. ὑπὸ M. πνεύμονι: πλεύμονι Phot. Lex. 320. — 529 ὄβριμον AC post ras. DLNO post ras.: ὄμβριμον C 1. man. GHMO 1. man. — 530 ἐρύςατο DO. — 531 ἔνυτο D. — 532 περιςτῆςαν D. — 533 ἀκρόκομοι A. — 535 ἄπο M. ςφίων G. ὃ δὲ C. χαςάμενος DGN Lips. πολεμίχθη GL. — 536 ὡς A. ὦς οἵγ᾽ G. πετάςθην D. — 537 ὃ μὲν N. ὅδ᾽ CDMN. — 538 περικτείνοντο CDGMNO, conf. M 245, λ 412. — 539 ἔνθά κεν CDHMO Et. Mg. 370, 8. οὐκέτι CDGHLMNOS Et. Mg. 370, 8. Et. Gud. 429, 53. Schol. Soph. Trach. 21. οὐκ ἔτι E. οὔ, κέτι A. δ᾽ ἔργον O. ὀνόςετο N.

---

A. c. 527 ἀρίςταρχος διὰ τοῦ ᾱ ἀπεςςύμενον Didymus, conf. N 516, 567, 650, Ξ 409, 461. — 535 conf. Aristonicum ad N 148, ubi Zenodotus ὃ δὲ χάςςατο πολλὸν ὀπίςςω scripsit. — 538 περικτείνοντο, conf. H. T. 340. — 539 οὐκέτι Ptolemaeus Ascalonita: οὔ κέ τι Aristarchus (ἡ διπλῆ ὅτι περιςςὸς ὁ κέν Aristonicus), vide Ariston. ad N 127.

διvεύοι κατὰ μέϲϲον, ἄγοι δέ ἑ Παλλὰϲ Ἀθήνη
χειρὸϲ ἑλοῦϲα, ἀτὰρ βελέων ἀπερύκοι ἐρωήν·
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
πρηνέεϲ ἐν κονίῃϲι παρ᾽ ἀλλήλοιϲι τέταντο.

---

# ΙΛΙΑΔΟϹ Ε.

Ἔνθ᾽ αὖ Τυδεΐδῃ Διομήδεϊ Παλλὰϲ Ἀθήνη
δῶκε μένοϲ καὶ θάρϲοϲ, ἵν᾽ ἔκδηλοϲ μετὰ πᾶϲιν
Ἀργείοιϲι γένοιτο ἰδὲ κλέοϲ ἐϲθλὸν ἄροιτο.
δαῖέ οἱ ἐκ κόρυθόϲ τε καὶ ἀϲπίδοϲ ἀκάματον πῦρ,
ἀϲτέρ᾽ ὀπωρινῷ ἐναλίγκιον, ὅϲ τε μάλιϲτα
λαμπρὸν παμφαίνῃϲι λελουμένοϲ Ὠκεανοῖο·
τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατόϲ τε καὶ ὤμων,

---

V. ι. 541 διvεύει GH. μέϲον DE. ἄγει G. ἄγει (οι supra) N. ἄγῃ (οι supra) O. δὲ ἓ G. — 542 ἑλοῦϲα ἀτὰρ E. ἑλοῦϲ᾽ (α supra) ἀτὰρ G. ἑλοῦϲ᾽ ἀτὰρ H. ἑλοῦϲ᾽ (α supra) ἀ(υ supra)τὰρ A. ἑλοῦϲα αὐτὰρ O. ceteri ἑλοῦϲ᾽ αὐτὰρ. ἀπερύκει D. — 543 τρῴων GL. ἤματι D.

---

A. c. 542 ἑλοῦϲα ἀτὰρ, conf. Ahrens. de hiat. Hom. legitimis quibusdam generibus pg. 11. hanc scripturam confirmant ἐφοπλιϲόμεϲθα ἀτάρ Θ 503; ποτάμοιο ἀτάρ Λ 732; ἀνέπαλτο ἀτάρ Ψ 694; ἰχθυόεντα ἀτάρ ι 83; μεγάροιο ἀτάρ φ 229. conf. porro κανέοιϲιν ἀτάρ Ι 217, Ω 626; ἡμιόνοιϲιν ἀτάρ Η 333; προμάχοιϲιν ἀτάρ Λ 744; ἔπεφνεν ἀτάρ Κ 488; ἐϲτὶν ἀτάρ ρ 307 et Ε 483, 833, Ι 56, Λ 614, Ξ 105, Υ 181, Ψ 265, β 240, ν 243. Ε 287 οὐδ᾽ ἔτυχεϲ ἀτάρ. Ε 485 ἕϲτηκαϲ ἀτάρ. Ψ 104 εἴδωλον ἀτάρ.

---

V. ι. 2 μετα A. πᾶϲϊ M. — 3 γένοιτο ἠδὲ G. — 4 ΔΑΙΕΔΕΟΙ Ambrosianus: ceteri δαῖέ οἱ cum Bekk. Anecd. 1208. Bachm. Anecd. II, 140, 19. Drac. de Metr. 34, 8. Macrob. Sat. V, 13, 34. Suid. Lex. I, 1, 151, 25. Rhet. Gr. III, 234, 6. τινὲϲ γράφουϲι „δαῖε δέ οἱ ἐκ κόρυθοϲ" Eust. 514, 8, qui frustra quaerit, cur hoc loco ν̄ paragogicum sit omissum. — 5 ΑϹΤΕΡΙ Ambros. ἀϲτέρι G Eust. 12, 29. Draco de Metr. 41, 12. Hesych. I, 304. ἀϲτέρ᾽ (ι supra) A. γράφεται καὶ ἄλλωϲ ἐντελῶϲ „ἀϲτέρι ὀπωρινῷ" Eust. 514, 18. — 6 παμφαίνηϲι MN Lips. cum aliis sine ῑ subscripto, quod multis locis est omissum.

---

A. c. 4 δαῖέ οἱ χωρὶϲ τοῦ ν̄ ἐν πολλοῖϲ ἀντιγράφοιϲ φερόμενον Eust. 514, 4. conf. κέ οἱ Ζ 281, Ι 157, Ψ 540 (κέν CDGHL)' γ 258 (κέν GINV), ι 458; sed Φ 567 omnes κέν οἱ habent. κέ ἑ Ι 155. — 6 παμφαίνηϲι, conf. H. U. 197 et Bäumlein. in Commentat. de Homero editioni Iliadis praefixa pg. XL.